Circuli zodiaci aequales arcus non aequali tempore hemisphaerium conspicuum permutant, sed maiore semper is, qui propior est aestivo tropico quam remotior, si polus horizontis inter arcticum et aestivum tropicum est.

Recensio b.



XIV. Circuli zodiaci aequales arcus non aequalibus temporibus hemisphaerium conspicuum permutant, sed maiore tempore arcus, qui propior est contactui tropici aestivi quam remotior, si polus horizontis inter arcticum et aestivum tropicum est.

a. 1. ιδ′] ιε′ Vl, ις′ v′. 4. ἔγγειον a. ἀπότερον a.

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ *ΑΒΓ*, μέγιστος δὲ τῶν ἀεὶ φανερῶν ὁ *ΑΔ*, τῶν δὲ ἀεὶ ἀφανῶν ὁ *ΖΗ*, καὶ θερινὸς μὲν τροπικὸς ὁ *ΒΓΚ*, χειμερινὸς δὲ ὁ *ΛΜΝ*, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω ὁτὲ μὲν τὴν *ΚΞΟ*, ὁτὲ δὲ τὴν *ΠΤΡ*, καὶ ἀπειλήφθω ἡ *ΚΟ* περιφέρεια μὴ μείζων ἡμικυκλίου, καὶ διὰ τοῦ *Ε* γεγράφθω μέγιστος κύκλος ἐφαπτόμενος τοῦ *ΑΔΕ*· ἐφάπτεται δὴ καὶ τοῦ *ΖΗ*· ἤτοι δὴ διὰ τοῦ *Κ* ἐλεύσεται [ὁ *ΕΗΘ* κύκλος] ἢ ὑπερπεσεῖται τὸ *Κ* ὡς ἐπὶ τὰ *Β* μέρη· οὐδὲν γὰρ διαφέρει· ἔστω ὁ *ΕΗΘ* καὶ ἔστω ἀσύμπτωτον τὸ ἀπὸ τοῦ *Ε* ἡμικύκλιον ὡς ἐπὶ τὰ *Ρ* μέρη τῷ ἀπὸ τοῦ *Α* ἡμικυκλίῳ ὡς ἐπὶ τὰ *Β* μέρη. ἐπεὶ οὖν τοῦ *ΑΒΓ* κύκλου ὁ πόλος μεταξύ ἐστι τῶν *ΑΔΕ*, *ΒΚΓ*, καὶ γεγραμμένοι εἰσὶ

ἔστω ὁρίζων κύκλος ὁ *ΑΒΓΔ*, μέγιστος δὲ τῶν ἀεὶ φανερῶν ἔστω ὁ *ΕΖ*, θερινὸς δὲ τροπικὸς ὁ *ΒΑ*, καὶ ἔστω ὁ τοῦ *ΑΒΓΔ* πόλος μεταξὺ τῶν *ΕΖ*, *ΒΑ*, ὁ δὲ τῶν ζῳδίων κύκλος ποτὲ μὲν θέσιν ἐχέτω ὡς τὴν *ΘΗΚ*, ποτὲ δὲ ὡς τὴν *ΛΜΝ*, καὶ ἀπειλήφθω ἡ *ΗΚ* μὴ μείζων ἡμικυκλίου, καὶ γεγράφθω διὰ τοῦ *Κ* σημείου μέγιστος κύκλος ὁ *ΚΝΖ* ἐφαπτόμενος τοῦ *ΕΖ*.

ἐπεὶ ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ *ΑΒΓΔ* κύκλου τινὸς *ΕΖ* ἐφάπτεται, ἕτερον δὲ τούτῳ παράλληλον τέμνει τὸν *ΒΑ*, καί ἐστιν ὁ τοῦ *ΑΒΓΔ* πόλος μεταξὺ τῶν *ΑΒ*, *ΕΖ*, καὶ γεγραμμένοι εἰσὶ μέγιστοι κύκλοι οἱ *ΘΗΚ*, *ΛΜΝ* ἐφαπτόμενοι τοῦ *ΒΑ*, μείζων ἐστὶν ἡ *ΟΜΞ* περιφέρεια τῆς *ΟΔ* περιφερείας. πάλιν, ἐπεὶ ἐν σφαίρᾳ μέγιστος κύκλος ὁ *ΑΒΓΔ* κύκλου τινὸς τοῦ *ΕΖ* ἐφάπτεται, ἕτερον δὲ τούτῳ παράλληλον τὸν *ΒΑ* τέμνει, καί ἐστιν ὁ τοῦ *ΑΒΓΔ* κύκλου πόλος μεταξὺ τῶν *ΒΑ*, *ΕΖ*, καὶ γέγραπται μέγιστος κύκλος ὁ *ΖΝΚ* ἐφαπτόμενος τοῦ *ΕΖ*, καὶ ὁ τοῦ *ΖΝΚ* ἄρα κύκλου πόλος μεταξὺ τῶν *ΕΖ*, *ΒΑ* ἐστιν· ὁ ἄρα ἕτερος πόλος αὐτοῦ μεταξὺ τῶν ἴσων τε καὶ παραλλήλων τοῖς *ΕΖ*, *ΒΑ* ἐστιν. μείζων ἄρα ἐστὶν ἡ *ΚΟ* τῆς *ΟΜΝ*, ὧν ἡ *ΞΜΟ* τῆς *ΟΔ* μείζων ἐστίν· λοιπὴ ἄρα ἡ

a. 2. ἀφανῶν] φανερῶν a. 5. *ΚΟ*] *Ο* e corr. V. 8. ὁ *ΕΗΘ* κύκλος] deleo.

sit in mundo horizon $ABΓ$, maximus autem circulorum, qui semper conspicui sunt, $AΔ$ et eorum, qui semper occulti sunt, ZH, et aestivus tropicus $BΓK$, hiemalis autem AMN, zodiacus autem circulus positionem habeat modo $KΞO$, modo $ΠTP$ et auferatur arcus KO non maior semicirculo, et per punctum E describatur circulus maximus contingens $AΔE$; contingit igitur etiam ZH; iam aut per K veniet aut ultra K cadet ad partes B (nihil enim interest); sit $EHΘ$ et sit semicirculus a puncto E ad partes P cum semicirculo a puncto A ad partes B non concurrens. iam quoniam polus circuli $ABΓ$ inter $AΔE$, $BKΓ$ est et descripti

---

sit circulus horizon $ABΓΔ$, maximus autem circulorum, qui semper conspicui sunt, sit EZ, aestivus autem tropicus BA, et sit polus circuli $ABΓΔ$ inter EZ, BA, circulus zodiacus positionem habeat modo $ΘHK$, modo AMN, et auferatur arcus HK ita, ut non maior sit semicirculo, et describatur per punctum K circulus maximus KNZ contingens EZ.

quoniam in sphaera circulus maximus $ABΓΔ$ circulum aliquem EZ contingit, alium autem huic parallelum BA secat, et polus circuli $ABΓΔ$ inter AB et EZ est, et descripti sunt circuli maximi $ΘHK$, AMN contingentes BA, arcus $OMΞ$ arcu $OΔ$ maior est. rursus, quoniam in sphaera circulus maximus $ABΓΔ$ circulum aliquem EZ contingit, alium autem huic parallelum BA secat, et polus circuli $ABΓΔ$ inter BA et EZ est, et descriptus est circulus maximus ZNK contingens EZ, etiam polus circuli ZNK inter EZ et BA est. itaque alter polus eius inter circulos aequales et parallelos EZ, BA est. itaque KO maior est quam OMN, quorum $ΞMO$ maior est quam $OΔ$; itaque reliquus

---

b. 2. τοῦ] om. Vat., sed add. m. 1. 8. Ante ἐπεί add. καί m. 2 Vat., item p. 90 lin. 3. 15. BA] $BΔ$ Vat. 20. OMN] O eras. Vat.

κύκλοι τέμνοντες τὸν ΒΑΓ, ἐλάσσων ἄρα ἐστὶν ἡ ΥΦ περιφέρεια τῆς ΥΠΤ. πάλιν, ἐπεὶ τοῦ ΑΒΓ κύκλου ὁ πόλος μεταξύ ἐστι τῶν ΑΔΕ, ΒΚΓ καὶ τοῦ ΑΔΕ ἐφαπτόμενός ἐστιν ὁ ΕΡΟ, καὶ τοῦ ΕΡΟ ἄρα ὁ πόλος μεταξύ ἐστι τῶν ΑΔΕ, ΒΚΓ· ὁ ἄρα ἕτερος αὐτοῦ πόλος μεταξὺ ἐστι τῶν ΖΗ, ΜΝΛ· μείζων ἄρα ἐστὶν ἡ ΥΦΟ περιφέρεια τῆς ΥΠΡ· ἡ δὲ ΥΦ τῆς ΥΠΤ ἐλάσσων ἐστίν· λοιπὴ ἄρα ἡ ΟΦ τῆς ΡΤ μείζων ἐστίν. κείσθωσαν ὅμοιαι καὶ ἴσαι περιφέρειαι αἱ ΤΡ, ΦΧ, καὶ ἔστωσαν παράλληλοι κύκλοι, καθ' ὧν φέρεται τὰ Ρ, Χ σημεῖα, οἱ ΨΧΣ, ϑΩΡ· ὅμοιαι ἄρα εἰσὶν αἱ ΨΧΣ, ϑΩΡ· ἐν ᾧ δὲ τὸ Σ τὴν ΣΧΨ περιφέρειαν διαπορεύεται, ἐν τούτῳ καὶ τὸ Ρ τὴν ΡΩϑ περιφέρειαν διαπορεύεται. ἐν πλείονι

ΔΚ τῆς ΞΝ μείζων ἐστίν. κείσθω τῇ ΝΞ ἴση ἡ ΔΠ, καὶ ἔστωσαν καθ' ὧν φέρεται τὰ Ν, Π σημεῖα παράλληλοι κύκλοι οἱ ΝΡ, ΓΠΣ. ἐπεὶ ἀσύμπτωτόν ἐστι τὸ ἀπὸ τοῦ Ε ἡμικύκλιον ὡς ἐπὶ τὰ Ε, Ρ μέρη τῷ ἀπὸ τοῦ Ζ ἡμικυκλίῳ ὡς ἐπὶ τὰ Ζ, Ν μέρη, ὁμοία ἐστὶν ἡ ΝΡ περιφέρεια τῇ ΓΣ περιφερείᾳ· ἡ ΝΡ ἄρα τῆς ΓΠ μείζων ἐστὶν ἢ ὁμοία· ἐν πλείονι ἄρα χρόνῳ τὸ Ν ἀρξάμενον ἀπὸ τοῦ Ν τὴν ΝΡ περιφέρειαν διελθὸν ἐπὶ τὸ Ρ παραγίνεται ἥπερ τὸ Π ἀρξάμενον ἀπὸ τοῦ Π τὴν ΠΓ περιφέρειαν διελθὸν ἐπὶ τὸ Γ παραγίνεται. ἀλλ' ἐν ᾧ μὲν χρόνῳ τὸ Ν τὴν ΝΡ περιφέρειαν διελθὸν ἐπὶ τὸ Ρ παραγίγνεται, ἡ ΝΞ ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον· ἐν ᾧ δὲ χρόνῳ τὸ Π ἀρξάμενον ἀπὸ τοῦ Π τὴν ΠΓ διελθὸν ἐπὶ τὸ Γ παραγίγνεται, ἡ ΠΔ ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον· ἐν πλείονι ἄρα χρόνῳ ἡ ΞΝ ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον ἥπερ ἡ ΔΠ. λέγω, ὅτι καὶ ἔγγιόν ἐστιν ἡ ΞΝ τῆς συναφῆς τοῦ ϑερινοῦ τροπικοῦ ἥπερ ἡ ΠΔ. γεγράφθω διὰ τοῦ Ξ παράλληλος κύκλος ὁ ΞΥ· ἴση ἄρα ἐστὶν ἡ ΞΜ περιφέρεια τῇ ΗΨ· μείζων ἄρα ἐστὶν ἡ ΗΔ τῆς ΜΞ. ἡ ΞΝ ἄρα ἔγγιόν ἐστι τῆς συναφῆς τοῦ ϑερινοῦ τροπικοῦ ἥπερ ἡ ΠΔ.

---

a. 1. τόν] τήν a. ἄρα] comp. l, ἔτι L; item p. 92 lin. 5. Post ΥΦ 1 litt. (O?) evanuit in V. 2. τῆς] τῇ a. ΥΠΤ] Π corr. ex Φ V. 3. Post ΒΚΓ hab. ὁ ἄρα ἕτερος αὐτοῦ πόλος ex-

sunt circuli secantes $BA\Gamma$, arcus $\Upsilon\Phi$ minor est arcu $\Upsilon\Pi T$. rursus, quoniam polus circuli $AB\Gamma$ inter $A\Delta E$, $BK\Gamma$ est et EPO circulum $A\Delta E$ contingit, etiam circuli EPO polus inter $A\Delta E$, $BK\Gamma$ est. itaque alter polus eius inter ZH, $MN\Lambda$ est; arcus igitur $\Upsilon\Phi O$ maior est arcu $\Upsilon\Pi P$. verum $\Upsilon\Phi$ minor est quam $\Upsilon\Pi T$. itaque reliquus arcus $O\Phi$ maior est quam PT. ponantur similes et aequales arcus TP, ΦX, et sint circuli paralleli, per quos puncta P, X feruntur, $\Psi X\Sigma$, $\Im\Omega P$. similes igitur sunt arcus $\Psi X\Sigma$, $\Im\Omega P$. verum quo tempore Σ arcum $\Sigma X\Psi$ percurrit, eo etiam P arcum $P\Omega\Im$ percurrit. itaque maiore tempore P arcum $P\Omega\Im$ percurrit,

---

arcus ΔK arcu ΞN maior est. ponatur arcui $N\Xi$ aequalis $\Delta\Pi$, et sint circuli paralleli, per quos puncta N, Π feruntur, NP, $\Gamma\Pi\Sigma$. et quoniam semicirculus a puncto E ad partes EP cum semicirculo a puncto Z ad partes Z, N non concurrit, arcus NP arcui $\Gamma\Sigma$ similis est (Theodos. II, 13). quare NP maior est quam similis arcui $\Gamma\Pi$ (ib. II, 20). itaque maiore tempore N exorsum a N, postquam arcum NP percurrit, ad P pervenit quam Π exorsum a Π, postquam arcum $\Pi\Gamma$ percurrit, ad Γ pervenit. sed quo tempore N, postquam arcum NP percurrit, ad P pervenit, $N\Xi$ conspicuum hemisphaerium permutat, et quo tempore Π exorsum a Π, postquam arcum $\Pi\Gamma$ percurrit, ad Γ pervenit, $\Pi\Delta$ conspicuum hemisphaerium permutat. itaque maiore tempore ΞN conspicuum hemisphaerium permutat quam $\Delta\Pi$. dico, etiam propiorem esse arcum ΞN contactui aestivi tropici quam $\Pi\Delta$. describatur per punctum Ξ circulus parallelus ΞT. arcus ΞM igitur aequalis est arcui $H\Psi$ (Theodos. II, 13). quare $H\Delta$ maior est quam $M\Xi$. ergo ΞN propior est contactui aestivi tropici quam $\Pi\Delta$.

punctum V. 7. $\Upsilon\Pi P$] $\Pi T\Sigma$ a. $T\Pi T$] $\Pi T\Sigma$ a. 9. *αἱ* TP, ΦX] addidi. 10. P] Φ a. *οἱ*] *ἡ* a. 11. $\Psi X\Sigma$ (pr.)] Ψ corr. ex Φ l. 13. $P\Omega\Im$] $P\Omega\Pi$ (Π corr. ex T) V, $P\Omega T$ L, $P\Omega T$ l; item p. 92 lin. 1.

b. 5. *τῇ*] seq. ras. 1 litt. Vat.

ἄρα χρόνῳ τὸ P τὴν $PΩ\Sigma$ περιφέρειαν διαπορεύεται ἥπερ τὸ X τὴν $ΨX$· ἀλλ' ἐν ᾧ μὲν τὸ P τὴν $PΩ\Sigma$ διαπορεύεται, ἡ PT ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον· ἐν ᾧ δὲ τὸ X τὴν $XΨ$ διαπορεύεται, ἡ $ΦX$ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον· ἐν πλείονι ἄρα χρόνῳ ἡ TP τῆς $ΦX$ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον.

ὡσαύτως δὲ καὶ τῶν ἐν τῷ ἑτέρῳ ἡμικυκλίῳ αἱ ἴσαι περιφέρειαι οὐκ ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσι τὸ φανερὸν ἡμισφαίριον, ἀλλ' ἐν πλείονι ἀεὶ ἡ ἔγγιον τῆς συναφῆς τοῦ θερινοῦ τροπικοῦ τῆς ἀπώτερον, ἐν ἴσῳ δὲ αἱ ἴσον ἀπέχουσαι τῆς συναφῆς ὁποτερασοῦν.

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ $ABΓ$, θερινὸς δὲ τροπικὸς ὁ AEZ, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω ὡς τὴν

ὡσαύτως δὲ καὶ ἐν τῷ ἑτέρῳ ἡμικυκλίῳ αἱ ἴσαι περιφέρειαι ἐν ἀνίσοις χρόνοις ἐξαλλάσσουσι τὸ φανερὸν ἡμισφαίριον, καὶ ἐν πλείονι μὲν ἡ ἔγγιον τῆς συναφῆς τοῦ θερινοῦ τροπικοῦ τῆς ἀπώτερον, ἐν ἴσῳ δὲ αἱ ἴσον ἀπέχουσαι τοῦ θερινοῦ τροπικοῦ ἐν ἑκατέρῳ τῶν ἡμικυκλίων.

ἔστω ὁρίζων κύκλος ὁ $ABΓΔ$, μέγιστος δὲ τῶν ἀεὶ φανερῶν ὁ EZ, θερινὸς δὲ τροπικὸς ὁ $BHΔ$, ζῳδιακὸς δὲ κύκλος θέσιν ἐχέτω τὸν $ΓHΔ$· λέγω, ὅτι καὶ ἐν τῷ ἑτέρῳ ἡμικυκλίῳ τῷ ἐπὶ τὰ H, $Γ$ μέρη αἱ ἴσαι περιφέρειαι οὐκ ἐν ἴσοις χρόνοις ἐξαλλάσσουσι τὸ φανερὸν ἡμισφαίριον, ἀλλ' ἐν πλείονι ἡ ἔγγιον τῆς συναφῆς τοῦ θερινοῦ τροπικοῦ τῆς ἀπώτερον, ἐν ἴσῳ δὲ αἱ ἴσον ἀπέχουσαι τοῦ θερινοῦ τροπικοῦ ἐν ἑκατέρῳ τῶν ἡμικυκλίων.

γεγράφθω παράλληλος κύκλος ὁ $ΔΘ$· ἴση ἄρα ἐστὶν ἡ KH τῇ $HΔ$. καὶ μετακεκινήσθω ὁ τῶν ζῳδίων κύκλος καὶ θέσιν

---

a. 2. $PΩ\Sigma$] $PΩT$ a. 5. ἐν — 6. ἡμισφαίριον] et in textu et m. 2 mg. addito κείμενον l (ἔτι pro ἄρα). 7. ιϛ΄ Vl, ιζ΄ v΄. 9. ἔγγιον V. 10. ἀπότερον V.

b. 1. ιε΄ Vat. Post ἑτέρῳ del. μέρει τοῦ Vat. ἡμικυκλίῳ] -ου Vat., sed ου mut. in ῳ m. 1. 3. ἡ] Ambr. 101, αἱ Vat.; item lin. 10. 7. Ante ζῳδιακός add. ὁ m. 2 Vat. 14. Post γεγράφθω add. διὰ τοῦ $Δ$ m. 2 Vat.


quam X arcum ΨX. verum quo tempore P arcum $P\Omega$ percurrit, eo PT conspicuum hemisphaerium permutat; quo autem X arcum $X\Psi$ percurrit, ΦX conspicuum hemisphaerium permutat. ergo maiore tempore TP conspicuum hemisphaerium permutat quam ΦX.

eodem modo ne in altero quidem semicirculo aequales arcus aequali tempore conspicuum hemisphaerium permutant, sed maiore semper is, qui contactui tropici aestivi propior est, quam is, qui remotior est, aequali autem ii, qui ab utrovis contactu aequali spatio distant.

sit in mundo horizon $AB\Gamma$, aestivus autem tropicus AEZ, zodiacus autem circulus positionem habeat velut

---

eodem modo etiam in altero semicirculo arcus aequales inaequalibus temporibus conspicuum hemisphaerium permutant ac maiore quidem is, qui contactui aestivi tropici propior est quam is, qui remotior est, aequali autem, qui ab aestivo tropico in utroque semicirculo aequali spatio distant.



sit circulus horizon $AB\Gamma\Delta$, maximus autem circulorum, qui semper conspicui sunt, EZ, tropicus aestivus BHA, et circulus zodiacus positionem habeat $\Gamma H\Delta$; dico, ne in altero quidem semicirculo ad H, Γ partes arcus aequales aequalibus temporibus hemisphaerium conspicuum permutare, sed maiore eum, qui propior contactui aestivi tropici sit, quam eum, qui remotior sit, aequali autem eos, qui ab aestivo tropico in utroque semicirculo aequali spatio distant.

describatur circulus parallelus $\Delta\Theta$. itaque KH aequalis est arcui $H\Delta$ (Theodos. II, 13). moveatur circulus zodiacus et

ΒΕΓ, καὶ ἀπειλήφθωσαν ἴσαι περιφέρειαι αἱ ΚΗ, ΗΜ· λέγω, ὅτι ἡ ΚΗ ἐν πλείονι χρόνῳ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ ΗΜ.


ἐχέτω ὡς τὴν ΘΔΡ. ἐπεὶ αἱ ΚΗ, ΗΔ ἴσον ἀπέχουσι τῆς συναφῆς τοῦ θερινοῦ τροπικοῦ, ἐν ᾧ ἄρα χρόνῳ ἡ ΔΗ ἀνατέλλει, ἐν τούτῳ ἡ ΚΗ δύνει, τουτέστιν ἡ ΛΘ. ἀλλ' ὁ μὲν χρόνος, ἐν ᾧ ἡ ΔΗ ἀνατέλλει, ὁ χρόνος ἐστίν, ἐν ᾧ τὸ Η ἀρξάμενον ἀπὸ τοῦ Α τὴν ΑΗ περιφέρειαν διελθὸν ἐπὶ τὸ Η παραγίγνεται, ὁ δὲ χρόνος, ἐν ᾧ ἡ ΛΘ δύνει, ὁ χρόνος ἐστίν, ἐν ᾧ τὸ Λ ἀρξάμενον ἀπὸ τοῦ Λ τὴν ΛΒ περιφέρειαν διελθὸν ἐπὶ τὸ Β παραγίγνεται· ἐν ᾧ ἄρα χρόνῳ τὸ Η τὴν ΑΗ διελθὸν ἐπὶ τὸ Η παραγίγνεται, ἐν τούτῳ καὶ τὸ Λ τὴν ΛΒ περιφέρειαν διελθὸν ἐπὶ τὸ Β παραγίγνεται. κοινὸς προσκείσθω ὁ χρόνος, ἐν ᾧ τὸ Δ ἀρξάμενον ἀπὸ τοῦ Δ τὴν ΔΡΚΘ περιφέρειαν διελθὸν ἐπὶ τὸ Θ παραγίγνεται· ὁ ἄρα χρόνος, ἐν ᾧ τὸ Η ἀρξάμενον ἀπὸ τοῦ Α τὴν ΑΗ περιφέρειαν διελθὸν ἐπὶ τὸ Η παραγίγνεται, μετὰ τοῦ χρόνου, ἐν ᾧ τὸ Δ ἀρξάμενον ἀπὸ τοῦ Δ τὴν ΔΘ περιφέρειαν διελθὸν ἐπὶ τὸ Θ παραγίγνεται, ἴσος ἐστὶ τῷ χρόνῳ, ἐν ᾧ τὸ Λ ἀρξάμενον ἀπὸ τοῦ Λ τὴν ΛΒ περιφέρειαν διελθὸν ἐπὶ τὸ Β παραγίγνεται μετὰ τοῦ χρόνου, ἐν ᾧ τὸ Θ ἀρξάμενον ἀπὸ τοῦ Δ τὴν ΔΚΘ περιφέρειαν διελθὸν ἐπὶ τὸ Θ παραγίγνεται. ἀλλ' ὁ μὲν χρόνος, ἐν ᾧ τὸ Η ἀρξάμενον ἀπὸ τοῦ Α τὴν ΑΗ περιφέρειαν διελθὸν ἐπὶ τὸ Η παραγίγνεται, μετὰ τοῦ χρόνου, ἐν ᾧ τὸ Δ ἀρξάμενον ἀπὸ τοῦ Δ τὴν ΔΘ περιφέρειαν διελθὸν ἐπὶ τὸ Θ παραγίγνεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ ΗΔ περιφέρεια ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον, ὁ δὲ χρόνος, ἐν ᾧ τὸ Λ ἀρξάμενον ἀπὸ τοῦ Λ τὴν ΛΒ περιφέρειαν διελθὸν ἐπὶ τὸ Β παρα-

---

b. 1. Ante *ἐπεί* add. *καί* m. 2 Vat.

Figuram bis hab. V.

BEΓ, et auferantur arcus aequales *KH*, *HM*; dico arcum *KH* maiore tempore conspicuum hemisphaerium permutare, quam *HM*.



positionem habeat ut *ΘΛP*. quoniam *KH*, *HΛ* a contactu aestivi tropici aequali spatio distant, quo tempore *ΔH* oritur, eo *KH*, hoc est *ΛΘ* occidit. verum tempus, quo *ΔH* oritur, tempus est, quo *H* exorsum ab *Δ*, postquam arcum *ΔH* percurrit, ad *H* pervenit, tempus autem, quo *ΛΘ* occidit, tempus est, quo *Λ* exorsum a *Λ*, postquam arcum *ΛB* percurrit, ad *B* pervenit. itaque quo tempore *H*, postquam *ΔH* percurrit, ad *H* pervenit, eo etiam *Λ*, postquam arcum *ΛB* percurrit, ad *B* pervenit. commune adiciatur tempus, quo *Δ* exorsum a *Δ*, postquam arcum *ΔPKΘ* percurrit, ad *Θ* pervenit. itaque tempus quo *H* exorsum ab *Δ*, postquam arcum *ΔH* percurrit, ad *H* pervenit cum tempore, quo *Δ* exorsum a *Δ*, postquam arcum *ΔΘ* percurrit, ad *Θ* pervenit, aequale est tempori, quo *Λ* exorsum a *Λ*, postquam arcum *ΛB* percurrit, ad *B* pervenit cum tempore, quo *Θ* exorsum a *Δ*, postquam arcum *ΔKΘ* percurrit, ad *Θ* pervenit. verum tempus, quo *H* exorsum ab *Δ*, postquam arcum *ΔH* percurrit, ad *H* pervenit, cum tempore, quo *Δ* exorsum a *Δ*, postquam arcum *ΔΘ* percurrit, ad *Θ* pervenit, tempus est, quo *HΛ* conspicuum hemisphaerium permutat, tempus autem, quo *Λ* a *Λ* exorsum, post-

γεγράφθωσαν γὰρ παράλληλοι κύκλοι, καθ' ὧν φέρεται τὰ Κ, Η, Μ, οἱ ΚΛ, ΗΘ, ΜΝ· αἱ ἄρα ΚΗ, ΛΘ περιφέρειαι ἴσαι εἰσὶ καὶ ἴσον ἀπέχουσιν ἀπὸ τῆς συναφῆς ὁποτερασοῦν. καὶ ἐπεὶ ἐν ᾧ ἡ ΛΘ ἀνατέλλει, ἐν τούτῳ ἡ ΚΗ περιφέρεια δύνει, ἀλλὰ μὴν καὶ ἐν ᾧ τὸ Θ ἀρξάμενον ἀπὸ τοῦ Ξ τὴν ΞΘΟ διαπορεύεται, ἐν τούτῳ καὶ τὸ Η ἀρξάμενον ἀπὸ τοῦ Ξ τὴν ΞΟ διαπορεύεται, ὁ ἄρα χρόνος, ἐν ᾧ ἡ ΛΘ ἀνατέλλει, προσλαμβάνων τὸν χρόνον, ἐν ᾧ τὸ Θ ἀρξάμενον ἀπὸ τοῦ Ξ τὴν ΞΘΟ διαπορεύεται, ἴσος ἐστὶ τῷ χρόνῳ, ἐν ᾧ τὸ Η ἀρξάμενον ἀπὸ τοῦ Ξ τὴν ΞΗΟ διαπορεύεται, προσλαμβάνων τὸν χρόνον, ἐν ᾧ ἡ ΗΚ δύνει. ἀλλ' ὁ μὲν χρόνος, ἐν ᾧ ἡ ΛΘ ἀνατέλλει, προσλαβὼν τὸν χρόνον, ἐν ᾧ τὸ Θ

γίγνεται μετὰ τοῦ χρόνου, ἐν ᾧ τὸ Θ ἀρξάμενον ἀπὸ τοῦ Δ τὴν ΔΡΘ περιφέρειαν διελθὸν ἐπὶ τὸ Θ παραγίγνεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ ΛΘ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον, τουτέστιν ἡ ΚΗ· ἐν ᾧ ἄρα χρόνῳ ἡ ΚΗ περιφέρεια ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον, ἐν τούτῳ καὶ ἡ ΗΔ.

εἰλήφθω δή τι σημεῖον τὸ Μ, ὥστε ἴσην εἶναι τὴν ΗΔ τῇ ΔΜ, καὶ ἔστω καθ' οὗ φέρεται τὸ Μ σημεῖον παράλληλος κύκλος ὁ ΜΞΝΟ· ἴση ἄρα ἐστὶν ἡ ΔΜ τῇ ΚΠ, καὶ ἴσον ἀπέχουσιν αἱ ΔΜ, ΚΠ τῆς συναφῆς τοῦ θερινοῦ τροπικοῦ· ἐν ᾧ ἄρα χρόνῳ ἡ ΔΜ περιφέρεια ἀνατέλλει, ἐν τούτῳ ἡ ΠΚ δύνει, τουτέστιν ἡ ΘΟ. ἀλλ' ὁ μὲν χρόνος, ἐν ᾧ μὲν ἡ ΔΜ ἀνατέλλει, ὁ χρόνος ἐστίν, ἐν ᾧ τὸ Μ ἀρξάμενον ἀπὸ τοῦ Μ τὴν ΜΞ περιφέρειαν διελθὸν ἐπὶ τὸ Ξ παραγίγνεται· ὁ δὲ χρόνος, ἐν ᾧ ἡ ΘΟ δύνει, ὁ χρόνος ἐστίν, ἐν ᾧ τὸ Ο ἀρξάμενον ἀπὸ τοῦ Ν τὴν ΝΟ περιφέρειαν διελθὸν ἐπὶ τὸ Ο παραγίγνεται· ὁ ἄρα χρόνος, ἐν ᾧ τὸ Μ ἀρξάμενον ἀπὸ τοῦ Μ τὴν ΜΞ περιφέρειαν διελθὸν ἐπὶ τὸ Ξ παραγίγνεται, ὁ αὐτός ἐστι τῷ χρόνῳ, ἐν ᾧ τὸ Ο ἀρξάμενον ἀπὸ τοῦ Ν τὴν ΝΟ περιφέρειαν διελθὸν ἐπὶ τὸ Ο παραγίνεται. κοινὸς προσκείσθω ὁ χρόνος, ἐν ᾧ τὸ Ξ ἀρξάμενον ἀπὸ τοῦ Ξ τὴν ΞΝ

---

a. 2. οἱ] evan. in V. ἄρα] comp. l, ἔτι L. 6. ΞΘΟ] ΞΟΘ a

nam describantur circuli paralleli, per quos K, H, M feruntur, $K\Lambda$, $H\Theta$, MN. itaque arcus KH, $\Lambda\Theta$ aequales sunt (Theodos. II, 13) et ab utrovis contactu aequali spatio distant. et quoniam quo tempore $\Lambda\Theta$ oritur, eo arcus KH occidit, quo autem Θ exorsum a Ξ arcum $\Xi\Theta O$ percurrit, eo etiam H exorsum ab Ξ arcum $\Xi\Theta O$ percurrit, tempus, quo $\Lambda\Theta$ oritur, adsumens tempus, quo Θ exorsum a Ξ arcum $\Xi\Theta O$ percurrit, aequale est tempori, quo H exorsum a Ξ arcum ΞHO percurrit, adsumens tempus, quo HK occidit. verum tempus, quo $\Lambda\Theta$ oritur, adsumto tempore, quo Θ exorsum a Ξ

---

quam arcum ΛB percurrit, ad B pervenit, cum tempore, quo Θ a Δ exorsum, postquam arcum $\Delta P\Theta$ percurrit, ad Θ pervenit, tempus est, quo $\Lambda\Theta$, hoc est KH conspicuum hemisphaerium permutat. itaque quo tempore arcus KH conspicuum hemisphaerium permutat, eo etiam $H\Delta$.

iam sumatur punctum aliquod M ita, ut $H\Delta$ aequalis sit arcui ΔM, et sit circulus parallelus, per quem punctum M fertur, $M\Xi NO$. ΔM igitur aequalis est arcui $K\Pi$ (Theodos. III, 3), et ΔM, $K\Pi$ a contactu aestivi tropici aequali spatio distant. itaque quo tempore arcus ΔM oritur, eo ΠK, hoc est ΘO occidit. verum tempus, quo ΔM oritur, tempus est, quo M exorsum a M, postquam $M\Xi$ percurrit, ad Ξ pervenit; tempus autem, quo ΘO occidit, tempus est, quo O exorsum a N, postquam arcum NO percurrit, ad O pervenit. itaque tempus, quo M exorsum a M, postquam arcum $M\Xi$ percurrit, ad Ξ pervenit, idem est ac tempus, quo O exorsum a N, postquam arcum NO percurrit, ad O pervenit. commune adiciatur tempus, quo Ξ exorsum a Ξ,

---

8. ἄρα] ἔτι Ll. 9. τόν] om. a; item lin. 12. 11. προσλαμβάνων] -ω Vl, ν add. m. 2 L. 13. $\Lambda\Theta$] Manitius, HK a. τὸ Θ ἀρξάμενον ἀπὸ τοῦ Ξ] addidi, lac. c. 9 litt. a.

---

b. 11. Post ΘO del. δύνει Vat. ΔM] inter Δ et M ras. 1 litt. (N?) Vat.

ἀρξάμενον ἀπὸ τοῦ Ξ τὴν ΞΘΟ περιφέρειαν διαπορεύεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ ΛΘ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον· ὁ δὲ χρόνος, ἐν ᾧ τὸ Η ἀρξάμενον ἀπὸ τοῦ Ξ τὴν ΞΗΟ διαπορεύεται, προσλαβὼν τὸν χρόνον, ἐν ᾧ ἡ ΚΗ δύνει, ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ ΚΗ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον· αἱ ΛΘ, ΚΗ ἄρα ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσι τὸ φανερὸν ἡμισφαίριον. καὶ ἡ ΘΝ διὰ τὰ αὐτὰ ἐν ἴσῳ χρόνῳ καὶ ἡ ΗΜ ἐξαλλάσσουσι τὸ φανερὸν ἡμισφαίριον. ἐν πλείονι δὲ χρόνῳ ἡ ΛΘ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ ΘΝ· ἐδείχθη γὰρ ἐν τῷ πρὸ τούτου· ἐν πλείονι ἄρα χρόνῳ ἡ ΚΗ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ ΗΜ. καὶ συναποδέδεικται, ὅτι αἱ ἴσον ἀπέχουσαι τῆς συναφῆς ὁποτερασοῦν ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσι τὸ φανερὸν ἡμισφαίριον.

περιφέρειαν διελθὸν ἐπὶ τὸ Ν παραγίνεται· ὁ ἄρα χρόνος, ἐν ᾧ τὸ Μ ἀρξάμενον ἀπὸ τοῦ Μ τὴν ΜΝ περιφέρειαν διελθὸν ἐπὶ τὸ Ν παραγίνεται, ἴσος ἐστὶ τῷ χρόνῳ, ἐν ᾧ τὸ Ο ἀρξάμενον ἀπὸ τοῦ Ξ τὴν ΞΟ περιφέρειαν διελθὸν ἐπὶ τὸ Ο παραγίνεται. ἀλλ' ὁ μὲν χρόνος, ἐν ᾧ τὸ Μ ἀρξάμενον ἀπὸ τοῦ Μ τὴν ΜΝ περιφέρειαν διελθὸν ἐπὶ τὸ Ν παραγίνεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ ΔΜ περιφέρεια ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον· ὁ δὲ χρόνος, ἐν ᾧ τὸ Ο ἀρξάμενον ἀπὸ τοῦ Ξ τὴν ΞΟ περιφέρειαν διελθὸν ἐπὶ τὸ Ο παραγίνεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ ΟΘ, τουτέστιν ἡ ΚΠ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον· ἐν ᾧ ἄρα χρόνῳ ἡ ΔΜ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον, ἐν τούτῳ καὶ ἡ ΚΠ. καὶ ἐπεὶ ἐν πλείονι χρόνῳ ἡ ΗΔ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ ΔΜ, ἀλλ' ἐν ᾧ μὲν χρόνῳ ἡ ΗΔ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον, ἐν τούτῳ καὶ ἡ ΗΚ, ἐν ᾧ δὲ ἡ ΔΜ, ἐν τούτῳ καὶ ἡ ΚΠ, ἐν πλείονι ἄρα χρόνῳ ἡ ΗΚ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ ΚΠ.

a. 1. *ΞΘΟ περιφέρειαν*] addidi, lac. 11 litt. a. 3. *Η*] Manitius, *Θ* a. 6. *φανερόν*] *φερόν* l, *αν* add. m. 2. *αἱ* —

arcum $\Xi\Theta O$ percurrit, tempus est, quo $\Lambda\Theta$ conspicuum hemisphaerium permutat; tempus autem, quo H exorsum a Ξ arcum ΞHO percurrit, adsumto tempore, quo KH occidit, tempus est, quo KH conspicuum hemisphaerium permutat. itaque $\Lambda\Theta$ et KH aequali tempore conspicuum hemisphaerium permutant. atque ΘN eandem ob causam et HM aequali tempore conspicuum hemisphaerium permutant. verum maiore tempore $\Lambda\Theta$ conspicuum hemisphaerium permutat quam ΘN (nam demonstratum est in priore propositionis parte). ergo maiore tempore KH conspicuum hemisphaerium permutat quam HM. et simul demonstratum est, eos arcus, qui ab utrovis contactu aequaliter distent, aequali tempore conspicuum hemisphaerium permutare.

---

postquam arcum ΞN percurrit, ad N pervenit. itaque tempus, quo M exorsum a M, postquam arcum MN percurrit, ad N pervenit, aequale est tempori, quo O exorsum a Ξ, postquam arcum ΞO percurrit, ad O pervenit. verum tempus, quo M exorsum a M, postquam arcum MN percurrit, ad N pervenit, tempus est, quo arcus ΔM conspicuum hemisphaerium permutat, tempus autem, quo O exorsum a Ξ, postquam arcum ΞO percurrit, ad O pervenit, tempus est, quo $O\Theta$, hoc est $K\Pi$ conspicuum hemisphaerium permutat. itaque quo tempore ΔM conspicuum hemisphaerium permutat, eo etiam $K\Pi$. et quoniam maiore tempore $H\Delta$ conspicuum hemisphaerium permutat quam ΔM, verum quo tempore $H\Delta$ conspicuum hemisphaerium permutat, eo etiam HK, et quo ΔM, eo etiam $K\Pi$, HK maiore tempore conspicuum hemisphaerium permutat quam $K\Pi$.

---


7. *ἡμισφαίριον*] addidi. ΘN] $\Theta\Delta$ a. 8. HM] $M\Theta N$ a. 9. $\Lambda\Theta$] ΛE a. 10. *φανερόν*] corr. ex *φανερόν* m. 2 l.

b. 10. Post $O\Theta$ add. *περιφέρεια* m. rec. Vat. 12. $K\Pi$] e corr. Vat. 15. Post HK del. *ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον* Vat. Seq. demonstr. altera, v. app.

ιε'.

Τοῦ τῶν ζῳδίων κύκλου τῶν ἴσων τε καὶ ἀπεναντίον περιφερειῶν ἐν ᾧ χρόνῳ ἡ ἑτέρα ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον, ἡ ἑτέρα τὸ ἀφανές, καὶ ἐν ᾧ χρόνῳ ἡ ἑτέρα τὸ ἀφανές, ἡ ἑτέρα τὸ φανερόν.

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓ, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω ὡς ΖΑΕΓ, καὶ ἀπειλήφθωσαν ἴσαι τε καὶ ἀπεναντίον περιφέρειαι αἱ ΑΕ, ΓΖ· λέγω, ὅτι ἐν ᾧ χρόνῳ ἡ ΑΕ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον, ἡ ΓΖ τὸ ἀφανές, καὶ ἀνάπαλιν, ἐν ᾧ ἡ ΑΕ ἐξαλλάσσει τὸ ἀφανὲς ἡμισφαίριον, ἡ ΓΖ τὸ φανερόν.



Recensio b.

p. 100, 6 sqq. *ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓΔ, καὶ θερινὸς μὲν τροπικὸς ἔστω ὁ ΑΔ, χειμερινὸς δὲ τροπικὸς ὁ ΒΓ, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω τὴν ΔΕΒΖ, καὶ ἔστω τὸ μὲν ΔΕΒ ἡμικύκλιον τὸ μετὰ τὸν Καρκίνον ὑπὸ γῆν, τὸ δὲ ΒΖΔ τὸ μετὰ τὸν Αἰγόκερω ὑπὲρ γῆν, καὶ ἔστω ἀνατολικὰ μὲν τὰ Δ μέρη, δυτικὰ δὲ τὰ Β, καὶ ἀπειλήφθωσαν δύο ἴσαι τε καὶ ἀπεναντίον περιφέρειαι αἱ ΔΕ, ΒΖ· λέγω, ὅτι, ἐν ᾧ χρόνῳ ἡ ΔΕ ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον, ἐν τούτῳ ἡ ΖΒ τὸ ἀφανές, καὶ ἐν ᾧ χρόνῳ ἡ ΔΕ τὸ ἀφανές, ἡ ΒΖ τὸ φανερόν.*

1. ιε'] ιζ' Vl, ιη' ν', ις' Vat. 2. ἀπεναντίων a. 3. ἐξαλλάσσει ἡ ἑτέρα Vat. 4. ἡ (alt.)] add. m. 2 L. 8. Post ὡς supra add. ἡ ν'. 11. ΑΕ] in ras. V. 19. Ante ἡ add ἐν τούτῳ ν'.


XV.

Circuli zodiaci arcuum, qui et aequales et oppositi sunt, quo tempore alter conspicuum hemisphaerium permutat, eo alter occultum, et quo tempore alter occultum, eo alter conspicuum.

sit in mundo horizon $AB\Gamma$, zodiacus autem circulus positionem habeat velut $ZAE\Gamma$, et auferantur arcus aequales et oppositi AE, ΓZ; dico, quo tempore AE permutat conspicuum hemisphaerium, eo ΓZ permutare occultum, et vicissim, quo tempore AE permutet occultum hemisphaerium, eo ΓZ conspicuum.

Recensio b.

p. 101, 6 sqq. sit in mundo horizon $AB\Gamma\Delta$ et aestivus tropicus sit $A\Delta$, hiemalis autem tropicus $B\Gamma$, circulus zodiacus autem positionem habeat ΔEBZ, et sit semicirculus ΔEB post Cancrum sub terra, $BZ\Delta$ autem post Capricornum super terram, et sint partes orientales Δ, occidentales autem B, et auferantur duo arcus aequales et oppositi ΔE, BZ; dico, quo tempore ΔE conspicuum hemisphaerium permutet, eo ZB occultum permutare, et quo tempore ΔE occultum, eo BZ conspicuum.



---

b. 10. Ante ἡ (alt.) add. ἐν τούτῳ m. 2 Vat.

ἔστω γὰρ ὑπὸ γῆν τὸ ΑΕΓ ἡμικύκλιον καὶ ἔστωσαν παράλληλοι κύκλοι, καθ' ὧν φέρεται τὰ Ε, Ζ σημεῖα, οἱ ΕΗΒ, ΖΘΔ. καὶ ἐπεὶ τὰ ἐπὶ τοῦ τῶν ζῳδίων κύκλου ἄστρα τὰ κατὰ διάμετρον ὄντα κατὰ συζυγίαν ἀνατέλλει τε καὶ δύνει, τοῦ ἄρα Ε δύνοντος κατὰ τὸ Β τὸ κατὰ διάμετρον αὐτῷ τὸ Ζ ἀνατέλλει κατὰ τὸ Δ· ἐν ᾧ ἄρα χρόνῳ τὸ Ε τὴν ΕΗΒ περιφέρειαν διελθὸν ἐπὶ τὸ Β παραγίνεται, ἐν τούτῳ τὸ Ζ τὴν ΖΘΔ περιφέρειαν διελθὸν ἐπὶ τὸ Δ παραγίνεται. ὁ δὲ χρόνος, ἐν ᾧ τὸ Ε τὴν ΕΗΒ περιφέρειαν διελθὸν ἐπὶ τὸ Β παραγίνεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ ΑΕ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον· ὁ δὲ χρόνος, ἐν ᾧ τὸ Ζ τὴν ΖΘΔ διαπορεύεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ ΓΖ ἐξαλλάσσει τὸ ἀφανὲς ἡμισφαίριον. ἐν ᾧ ἄρα ἡ ΑΕ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον, ἐν τούτῳ καὶ ἡ ΓΖ τὸ ἀφανές.

γεγράφθωσαν παράλληλοι κύκλοι οἱ ΗΕΘ, ΚΖΛ, καθ' ὧν φέρεται τὰ Ε. Ζ σημεῖα. καὶ ἐπεὶ τοῦ τῶν ζῳδίων κύκλου τὰ κατὰ διάμετρον ἄστρα ὄντα κατὰ συζυγίαν ἀνατέλλει τε καὶ δύνει, τοῦ Ε ἄρα σημείου δύνοντος κατὰ τὸ Η σημεῖον τὸ κατὰ διάμετρον αὐτῷ τὸ Ζ ἀνατέλλει κατὰ τὸ Λ σημεῖον· ἀλλὰ τὸ μὲν Ε τὴν ΕΘΗ διελθὸν δύνει, τὸ δὲ Ζ τὴν ΖΚΛ διελθὸν ἀνατέλλει· ἐν ᾧ ἄρα χρόνῳ τὸ Ε τὴν ΕΘΗ περιφέρειαν διαπορεύεται, καὶ τὸ Ζ τὴν ΖΚΛ. ἀλλ' ὁ μὲν χρόνος, ἐν ᾧ τὸ Ε τὴν ΕΘΗ διαπορεύεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ ΔΕ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον· ὁ δὲ χρόνος, ἐν ᾧ τὸ Ζ τὴν ΖΚΛ διαπορεύεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ ΖΒ ἐξαλλάσσει τὸ ἀφανὲς ἡμισφαίριον. ἐν ἴσῳ ἄρα χρόνῳ ἡ ΔΕ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον καὶ ἡ ΖΒ τὸ ἀφανές.

ὁμοίως δὲ δείξομεν, ὅτι καί, ἐν ᾧ χρόνῳ ἡ ΔΕ ἐξαλλάσσει τὸ ἀφανὲς ἡμισφαίριον, ἡ ΖΒ τὸ φανερόν.

---

a. 3. ΖΘΔ] ΖΘΛ a. 5. ἄρα] comp. l, ἔτι L. 6. χρόνῳ] om. a. 7. ΕΗΒ] ΕΒ a. 12. Ζ τήν] om. v. 14. ἡ ΑΕ] τὸ Δ a. 15. ἡ] τό a.

nam sit semicirculus $\Delta E\Gamma$ sub terra, et sint circuli paralleli, per quos puncta E, Z feruntur, EHB, $Z\Theta\Delta$. et quoniam eae circuli zodiaci stellae, quae iuxta diametrum oppositae sunt, coniugate et oriuntur et occidunt (prop. VI), puncto E occidente in B punctum Z iuxta diametrum ei oppositum in Δ oritur. itaque quo tempore E, postquam arcum EHB percurrit, ad B pervenit, eo Z, postquam arcum $Z\Theta\Delta$ percurrit, ad Δ pervenit. verum tempus, quo E, postquam arcum EHB percurrit, ad B pervenit, tempus est, quo ΔE conspicuum hemisphaerium permutat; tempus autem, quo Z arcum $Z\Theta\Delta$ percurrit, tempus est, quo ΓZ occultum hemisphaerium permutat. ergo quo tempore ΔE conspicuum hemisphaerium permutat, eo etiam ΓZ occultum.

---

describantur circuli paralleli $HE\Theta$, $KZ\Lambda$, per quos feruntur puncta E, Z. et quoniam eae circuli zodiaci stellae, quae iuxta diametrum oppositae sunt, coniugate et oriuntur et occidunt (prop. VI), puncto E occidente in puncto H punctum Z iuxta diametrum ei oppositum in puncto Λ oritur. verum E, postquam arcum $E\Theta H$ percurrit, occidit, Z autem, postquam arcum $ZK\Lambda$ percurrit, oritur. itaque quo tempore E arcum $E\Theta H$ percurrit, eo etiam Z arcum $ZK\Lambda$. verum tempus, quo E arcum $E\Theta H$ percurrit, tempus est, quo ΔE conspicuum hemisphaerium permutat; tempus autem, quo Z arcum $ZK\Lambda$ percurrit, tempus est, quo ZB occultum hemisphaerium permutat. ergo aequali tempore ΔE conspicuum hemisphaerium permutat et ZB occultum.

similiter demonstrabimus, etiam quo tempore ΔE occultum hemisphaerium permutet, eo ZB conspicuum permutare.

---

b. 4. E] add. m. 2 Vat. 12. *ἀφανές*] *φανερόν* Vat., *ἀφανές* Vat. 191, 192, 202. 14. *δέ*] mut. in *δή* m. 2 Vat. 15. Seq. demonstr. altera, v. app.

ιε′.

Τοῦ τῶν ζῳδίων κύκλου αἱ ἴσαι περιφέρειαι οὐκ ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσι τὸ ἀφανὲς ἡμισφαίριον, ἀλλ' ἐν πλείονι ἀεὶ ἡ ἔγγιον τῆς συναφῆς τοῦ χειμερινοῦ τροπικοῦ τῆς ἀπώτερον, ἐν ἴσῳ δὲ αἱ ἴσον ἀπέχουσαι τῆς συναφῆς ὁποτερασοῦν.

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ $AB\Gamma$, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω τὴν $AZ\Gamma$, καὶ ἀπειλήφθωσαν ἴσαι περιφέρειαι αἱ ΔE, EZ· λέγω, ὅτι αἱ ΔE, EZ περιφέρειαι οὐκ ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσι τὸ ἀφανὲς ἡμισφαίριον, ἀλλ' ἐν πλείονι ἡ ZE τῆς $E\Delta$.


κείσθω γὰρ τῇ μὲν ZE ἴση τε καὶ ἀπεναντίον ἡ ΘK, τῇ δὲ $E\Delta$ ἴση τε καὶ ἀπεναντίον ἡ $K\Lambda$· καὶ ἡ ΘK ἄρα τῇ $K\Lambda$ ἴση ἐστίν. καὶ ἐπεὶ ἐν πλείονι χρόνῳ ἡ $K\Theta$ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ $K\Lambda$, ‖

---

a. 1. ιε′] ιη′ V, ιθ′ v′. 3. ἀφανές] φανερόν a, sed corr. m. 1 v′. 5. ἀπότερον a. 9. ὅτι] in hoc vocab. desinit v′. 11. ἐν] ἐπί a. 15. ἤπερ] ἤπερ Ll. **In $K\Lambda$ desinunt Vll.**

XVI.[1])

Circuli zodiaci arcus aequales non aequali tempore obscurum hemisphaerium permutant, sed is, qui contactui hiemalis tropici propior est, maiore semper tempore remotiore, aequali autem ii, qui ab utrovis contactu aequali spatio distant.



sit in mundo horizon $AB\Gamma$, zodiacus autem circulus positionem habeat $AZ\Gamma$, et auferantur aequales arcus ΔE, EZ; dico, arcus ΔE, EZ non aequali tempore occultum hemisphaerium permutare, sed ZE maiore quam $E\Delta$.

nam ponatur arcui ZE aequalis et oppositus arcus ΘK, arcui autem $E\Delta$ aequalis et oppositus $K\Lambda$. itaque ΘK arcui $K\Lambda$ aequalis est. et quoniam maiore tempore $K\Theta$ conspicuum hemisphaerium permutat quam $K\Lambda$, ‖

---

1) Recensionem **b** propositionem XVI—XVIII v. 106 sqq.

Recensio b.

ις'. Τοῦ τῶν ζῳδίων κύκλου αἱ ἴσαι περιφέρειαι οὐκ ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσι τὸ ἀφανὲς ἡμισφαίριον, ἀλλ' ἐν πλείονι χρόνῳ ἀεὶ ἡ ἔγγιον τοῦ χειμερινοῦ τροπικοῦ τῆς ἀπώτερον, ἐν ἴσῳ δὲ αἱ ἴσον ἀπέχουσαι ὁποτερασοῦν τῶν συναφῶν.

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ $AB\Gamma$, καὶ θερινὸς μὲν τροπικὸς ἔστω ὁ AB, χειμερινὸς δὲ τροπικὸς ἔστω ὁ ΓT, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω τὴν $A\Gamma E$, καὶ ἀπειλήφθωσαν ἴσαι περιφέρειαι αἱ ΔE, EZ· λέγω, ὅτι αἱ ΔE, EZ οὐκ ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσι τὸ ἀφανὲς ἡμισφαίριον, ἀλλ' ἐν πλείονι ἡ ΔE περιφέρεια τῆς EZ περιφερείας.

ἀπειλήφθωσαν γὰρ ταῖς ΔE, EZ περιφερείαις ἴσαι τε καὶ ἀπεναντίον περιφέρειαι αἱ $H\Theta$, ΘK· αἱ $H\Theta$, ΘK ἄρα περιφέρειαι οὐκ ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσι τὸ φανερὸν ἡμισφαίριον, ἀλλ' ἐν πλείονι ἡ $H\Theta$ τῆς $K\Theta$· ἀλλ' ἐν ᾧ μὲν χρόνῳ ἡ $H\Theta$ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον, ἡ ΔE τὸ ἀφανές, ἐν ᾧ δὲ ἡ ΘK τὸ φανερὸν ἡμισφαίριον ἐξαλλάσσει, ἡ EZ τὸ ἀφανές· αἱ ΔE, EZ ἄρα περιφέρειαι οὐκ ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσι τὸ ἀφανὲς ἡμισφαίριον, ἀλλ' ἐν πλείονι ἡ ΔE τῆς EZ.

---


2. ις'] ιζ' Vat. 10. Ante ἴσαι del. αἱ Vat. 15. αἱ $H\Theta$, ΘK] supra add. m. 2 Vat.

Recensio b.

XVI. Circuli zodiaci arcus aequales non aequali tempore obscurum hemisphaerium permutant, sed is, qui hiemali tropico propior est, maiore semper tempore remotiore, aequali autem ii, qui ab utrovis contactu aequali spatio distant.

sit in mundo horizon $AB\Gamma$, et aestivus tropicus sit AB, hiemalis autem tropicus sit ΓT, et circulus zodiacus positionem habeat $A\Gamma E$, et auferantur aequales arcus ΔE, EZ; dico, ΔE, EZ non aequali tempore occultum hemisphaerium permutare, sed maiore arcum ΔE arcu EZ.

nam auferantur arcus arcubus ΔE, EZ aequales et oppositi $H\Theta$, ΘK. itaque arcus $H\Theta$, ΘK non aequali tempore conspicuum hemisphaerium permutant, sed maiore $H\Theta$ quam $K\Theta$ [prop. XIV]. verum quo tempore $H\Theta$ conspicuum hemisphaerium permutat, eo ΔE occultum, et quo tempore ΘK conspicuum hesphaerium permutat, eo EZ occultum [prop. XV]. ergo arcus ΔE, EZ non aequali tempore occultum hemisphaerium permutant, sed maiore ΔE quam EZ.



λέγω, ὅτι καὶ ἐν ἴσῳ χρόνῳ αἱ ἴσον ἀπέχουσαι ὁποτερασοῦν τῶν τροπικῶν συναφῶν ἐξαλλάσσουσι τὸ ἀφανὲς ἡμισφαίριον.

ἔστωσαν γὰρ καθ' ὧν φέρεται τὰ Δ, E, Z, K, Θ, H σημεῖα παράλληλοι κύκλοι οἱ ΔO, EΞ, ZP, KN, ΘM, HΛ· αἱ HΘ, ΛM ἄρα περιφέρειαι ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσι τὸ φανερὸν ἡμισφαίριον· ἀλλ' ἐν ᾧ μὲν χρόνῳ ἡ HΘ τὸ φανερὸν ἡμισφαίριον ἐξαλλάσσει, ἡ ΔE τὸ ἀφανὲς ἐξαλλάσσει· ἐν ᾧ δὲ ἡ ΛM τὸ φανερὸν ἡμισφαίριον ἐξαλλάσσει, ἡ ΞO τὸ ἀφανὲς ἐξαλλάσσει· αἱ EΔ, OΞ ἄρα περιφέρειαι ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσι τὸ ἀφανὲς ἡμισφαίριον.

ιζ. Τῶν ἐφ' ἑκάτερα τοῦ ἰσημερινοῦ περιφερειῶν ἴσων τε καὶ ἴσον ἀπεχουσῶν τοῦ ἰσημερινοῦ ἐν ᾧ χρόνῳ ἡ ἑτέρα ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον, ἡ ἑτέρα τὸ ἀφανές, καὶ ἐν ᾧ χρόνῳ ἡ ἑτέρα ἐξαλλάσσει τὸ ἀφανὲς ἡμισφαίριον, ἡ ἑτέρα τὸ φανερόν.

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓ, ἰσημερινὸς δὲ κύκλος ἔστω ὁ ΒΔΓ, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω ὡς τὴν ΑΕΘ, καὶ τοῦ ΒΔΓ ἰσημερινοῦ ἐφ' ἑκάτερα ἴσαι τε καὶ ἴσον ἀπέχουσαι περιφέρειαι ἔστωσαν αἱ ΘΚ, ΖΗ· λέγω, ὅτι, ἐν ᾧ χρόνῳ ἡ ΘΚ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον, ἡ ΖΗ τὸ ἀφανές.


---

2. ἐξαλλάσσουσι τὸ ἀφανὲς ἡμισφαίριον] addidi. 4. K, Θ, H] H, Θ, K Vat. 13. ιζ] ιη Vat.

dico, etiam aequali tempore eos arcus, qui ab utrovis contactu tropicorum aequali spatio distent, occultum hemisphaerium permutare.

nam sint circuli paralleli, per quos puncta Δ, E, Z, K, Θ, H feruntur, ΔO, $E\Xi$, ZP, KN, ΘM, $H\Lambda$. itaque arcus $H\Theta$, ΛM aequali tempore conspicuum hemisphaerium permutant [prop. XIV]. verum quo tempore $H\Theta$ conspicuum hemisphaerium permutat, eo ΔE occultum permutat, et quo tempore ΛM conspicuum hemisphaerium permutat, eo ΞO occultum permutat [prop. XV]. ergo arcus $E\Delta$, $O\Xi$ aequali tempore occultum hemisphaerium permutant.

XVII. Arcuum, qui ad utramque partem aequinoctialis sunt atque et aequales et aequali spatio ab aequinoctiali distantes, quo tempore alter permutat conspicuum hemisphaerium, eo alter occultum, et quo tempore alter permutat occultum hemisphaerium, eo alter conspicuum.



sit in mundo horizon $AB\Gamma$, aequinoctialis autem circulus sit $B\Delta\Gamma$, zodiacus autem circulus positionem habeat velut $AE\Theta$, et ad utramque partem aequinoctialis arcus et aequales et ab aequinoctiali aequali spatio distantes sint ΘK, ZH; dico, quo tempore ΘK permutet conspicuum hemisphaerium, eo ZH permutare occultum.

κείσθω γὰρ τῇ ΖΗ ἴση τε καὶ ἀπεναντίον περιφέρεια ἡ ΛΜ· αἱ ΜΛ, ΘΚ ἄρα περιφέρειαι ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσι τὸ φανερὸν ἡμισφαίριον· ἀλλ' ἐν ᾧ χρόνῳ ἡ ΜΛ τὸ φανερὸν ἡμισφαίριον ἐξαλλάσσει, ἡ ΖΗ τὸ ἀφανὲς ἐξαλλάσσει· καὶ ἐν ᾧ ἄρα χρόνῳ ἡ ΘΚ περιφέρεια ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον, ἡ ΗΖ περιφέρεια τὸ ἀφανὲς ἐξαλλάσσει. διὰ τὰ αὐτὰ δὴ καὶ ἐν ᾧ χρόνῳ ἡ ΘΚ περιφέρεια ἐξαλλάσσει τὸ ἀφανὲς ἡμισφαίριον, ἡ ΗΖ τὸ φανερὸν ἐξαλλάσσει.

ιη'. Τῶν δὲ ἐν τῷ ἡμικυκλίῳ τῷ ἀπολαμβανομένῳ ὑπὸ τοῦ ἰσημερινοῦ πρὸς τῷ θερινῷ τροπικῷ ἴσων περιφερειῶν ἐν πλείονι χρόνῳ ἡ ἑτέρα αὐτῶν ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ λοιπὴ τὸ ἀφανὲς καὶ ἡ τυχοῦσα τῆς τυχούσης.

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓ, καὶ θερινὸς μὲν τροπικὸς ἔστω ὁ ΑΞ, χειμερινὸς δὲ ὁ ΔΟ, ἰσημερινὸς δὲ κύκλος ἔστω ὁ ΒΕΓ, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω τὴν ΑΕΟ, καὶ ἐν τῷ ΤΑΕ ἡμικυκλίῳ ἴσαι περιφέρειαι ἔστωσαν αἱ ΖΗ, ΘΚ, ἔγγιον δὲ ἔστω τοῦ θερινοῦ τροπικοῦ ἡ ΖΗ· λέγω, ὅτι ἐν πλείονι χρόνῳ ἡ ΗΖ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ ΘΚ τὸ ἀφανὲς καὶ ἡ τυχοῦσα τῆς τυχούσης.


κείσθω γὰρ τῇ ΘΚ περιφερείᾳ ἴση τε καὶ ἀπεναντίον περιφέρεια ἡ ΜΝ· ἔγγιον ἄρα ἡ ΖΗ τοῦ θερινοῦ τροπικοῦ ἤπερ ἡ ΜΝ· ἐν πλείονι ἄρα χρόνῳ ἡ ΖΗ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ ΜΝ τὸ φανερόν.

---

5. ἄρα] om. Vat., supra add. m. 2. 10. ιη'] ιθ' Vat. δέ] del. m. 2 Vat. 24. ΖΗ] add. περιφέρεια m. 2 Vat.

nam ponatur arcui ZH et aequalis et oppositus arcus ΔM. itaque arcus $M\Delta$, ΘK conspicuum hemisphaerium aequali tempore permutant. verum quo tempore $M\Delta$ conspicuum hemisphaerium permutat, eo ZH occultum permutat [prop. XV]. itaque quo tempore arcus ΘK conspicuum hemisphaerium permutat, eo arcus HZ occultum permutat. eadem igitur de causa etiam quo tempore arcus ΘK occultum hemisphaerium permutat, eo HZ conspicuum permutat.

XVIII. Arcuum autem aequalium in semicirculo, qui aequinoctiali ad aestivum tropicum abscinditur, alter maiore tempore conspicuum hemisphaerium permutat quam reliquus occultum et quilibet quolibet.



sit in mundo horizon $AB\Gamma$, et aestivus tropicus sit $A\Xi$, hiemalis autem ΔO; aequinoctialis circulus sit $BE\Gamma$, zodiacus autem circulus positionem habeat ΔEO, et in semicirculo TAE arcus aequales sint ZH, ΘK, propior autem sit aestivo tropico arcus ZH; dico, maiore tempore arcum HZ conspicuum hemisphaerium permutare quam ΘK occultum et quemlibet quolibet.

nam ponatur arcui ΘK et aequalis et oppositus arcus MN. quare ZH aestivo tropico propior est quam MN. itaque maiore tempore ZH conspicuum hemisphaerium permutat quam MN conspicuum [prop. XIV]. verum

ἀλλ' ἐν ᾧ χρόνῳ ἡ *MN* περιφέρεια ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον, ἡ *ΘK* τὸ ἀφανές· ἐν πλείονι ἄρα χρόνῳ ἡ *ZH* περιφέρεια ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ *ΘK* τὸ ἀφανές.

ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἡ τυχοῦσα τῆς τυχούσης ἐν πλείονι χρόνῳ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ λοιπὴ τὸ ἀφανές.

ὡσαύτως δὲ καὶ τῶν ἐν τῷ ἑτέρῳ ἡμικυκλίῳ τῷ ἀπολαμβανομένῳ ὑπὸ τοῦ ἰσημερινοῦ πρὸς τῷ χειμερινῷ τροπικῷ ἴσων περιφερειῶν ἐν πλείονι χρόνῳ ἡ ἑτέρα αὐτῶν ἐξαλλάσσει τὸ ἀφανὲς ἡμισφαίριον ἤπερ ἡ λοιπὴ τὸ φανερὸν καὶ ἡ τυχοῦσα τῆς τυχούσης.

---

quo tempore arcus *MN* conspicuum hemisphaerium permutat, eo *ΘK* obscurum [prop. XV]. itaque maiore tempore arcus *ZH* conspicuum hemisphaerium permutat quam *ΘK* obscurum.

iam similiter demonstrabimus, etiam quemlibet quolibet conspicuum hemisphaerium maiore tempore permutare quam reliquum obscurum.

eadem ratione arcuum aequalium in altero semicirculo, qui aequinoctiali ad hiemalem tropicum abscinditur, maiore tempore alter obscurum hemisphaerium permutat quam reliquus conspicuum et quilibet quolibet.

---

8. τῶν] corr. ex τῷ m. 2 Vat. In fine: τῆς τυχούσης † τέλος (minio), mg.: φυ$^{\lambda\lambda'}$ ιης΄΄ m. 2 Vat.

APPENDIX

DEMONSTRATIONES ALTERAE RECENSIONIS b.

1.

Ad prop. VI.

Ἄλλως τὸ αὐτό.

Ἔστω ὁ ὁρίζων κύκλος ὁ ΑΒΓΔ, καὶ θερινὸς μὲν τροπικὸς ἔστω ὁ ΑΔ, χειμερινὸς δὲ ὁ ΒΓ, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω ὡς τὴν ΔΗΒΖ, καὶ ἔστω ἐπὶ τοῦ ΔΗΒΖ κατὰ διάμετρον τὰ Ζ, Η σημεῖα· λέγω, ὅτι τοῦ Ζ ἀνατέλλοντος τὸ Η δύνει.

εἰ γὰρ δυνατόν, μὴ δυνέτω, ἀλλ' ἔστω τὸ Θ δῦνον, καὶ διὰ τῶν Ζ, Θ παράλληλοι κύκλοι γεγράφθωσαν οἱ ΝΘ, ΖΚ. ὥστε τοῦ Ζ ἀνατέλλοντος κατὰ τὸ Κ σημεῖον τὸ Θ δύσεται κατὰ τὸ Ν καὶ ὁ τῶν ζῳδίων κύκλος θέσιν ἕξει τὴν ΜΝΛΚ. καὶ ἐπεὶ ἑκάτερος τῶν ΑΒΓΔ, ΜΝΛΚ κύκλων μέγιστός ἐστιν, κατὰ διάμετρόν ἐστι τὸ Κ τῷ Ν· ἀλλὰ τὸ μὲν Κ τῷ Ζ ἐστι τὸ αὐτό, τὸ δὲ Ν τῷ Θ· καὶ τὸ Ζ ἄρα τῷ Θ ἐστι κατὰ διάμετρον· ἀλλὰ καὶ τῷ Η· ὅπερ ἀδύνατον. οὐκ ἄρα τοῦ Ζ ἀνατέλλοντος τὸ Η οὐ δύνει· δύνει ἄρα.

---


7. ΔΗΒΖ] Ζ add. m. 2 Vat. 10. διά] supra add. m. 2 Vat. παράλληλοι] comp. m. 1 Vat., omnibus litteris supra m. 2. 13. καί — ΜΝΛΚ] mg. m. 2 Vat.

1.

Ad prop. VI.

Aliter idem.

Sit circulus horizon $AB\Gamma\Delta$, et aestivus tropicus sit $A\Delta$, hiemalis autem $B\Gamma$, zodiacus autem circulus positionem habeat velut ΔHBZ, et sint in circulo ΔHBZ puncta Z, H iuxta diametrum opposita; dico, puncto Z oriente H occidere.



nam si fieri potest, ne occidat, sed sit punctum Θ occidens, et per puncta Z, Θ circuli paralleli describantur $N\Theta$, ZK. itaque Z in puncto K oriente Θ in N occidet et circulus zodiacus positionem habebit $MN\Lambda K$. et quoniam uterque circulus $AB\Gamma\Delta$, $MN\Lambda K$ maximus est, K puncto N iuxta diametrum oppositum est. verum K idem est quod Z, N autem idem quod Θ. quare Z puncto Θ iuxta diametrum oppositum est; verum etiam puncto H, quod fieri non potest. itaque fieri non potest, ut Z oriente H non occidat; ergo occidit.

2.

Ad prop. XII.

Ἄλλως τὸ ιβ'.

Αὕτη δέ ἐστιν ἡ σαφεστέρα ἔκθεσις.

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓΔ, καὶ θερινὸς μὲν τροπικὸς ἔστω ὁ ΑΔ, χειμερινὸς δὲ τροπικὸς ὁ ΒΓ, ζῳδιακοῦ δὲ ἡμικύκλιον τὸ μετὰ τὸν Καρκίνον ἔστω ὑπὲρ γῆν τὸ ΑΓ, καὶ ἔστω ἀνατολικὰ μὲν μέρη τὰ Δ, Γ, δυτικὰ δὲ τὰ Α, Β, ἰσημερινὸς δὲ κύκλος ἔστω ὁ ΕΖ, καὶ διηρήσθω τὸ ΑΓ ἡμικύκλιον εἰς τὰ ἐν αὐτῷ ζῴδια κατὰ τὰ Η, Θ, Λ, Μ σημεῖα, καὶ γεγράφθωσαν παράλληλοι κύκλοι οἱ ΝΗΞ, ΟΘΠ, ΡΛΣ, ΤΜΥ, καθ' ὧν φέρεται τὰ Η, Θ, Λ, Μ σημεῖα· λέγω, ὅτι ἐν πλείστῳ μὲν χρόνῳ δύνουσιν αἱ ΑΗ, ΜΓ περιφέρειαι, ἐν ἐλάσσονι δὲ αἱ ΗΘ, ΛΜ, ἐν ἐλαχίστῳ δὲ αἱ ΘΚ, ΛΚ, ἐν ἴσῳ δὲ χρόνῳ αἱ ἴσον ἀπέχουσαι τοῦ ἰσημερινοῦ.

---

3. *Ἄλλως* — 4. *ἔκθεσις*] atram. rubro m. 1 Vat. (*δέ* et *ἔκθεσις* postea add. m. 2). Seq. repetitio propositionis. 12. *ΤΜΥ*] add. m. 2 Vat.


2.

Ad prop. XII.

Aliter propositio XII.

Haec autem est expositio magis perspicua.

sit in mundo horizon $AB\Gamma\Delta$, et aestivus tropicus sit $A\Delta$, hiemalis autem tropicus sit $B\Gamma$, zodiaci autem



semicirculus $A\Gamma$, qui post Cancrum est, sit super terram, et sint partes orientales Δ, Γ, occidentales autem A, B, aequinoctialis autem circulus sit EZ, et dividatur semicirculus $A\Gamma$ in signa, quae in eo sunt, in punctis H, Θ, Λ, M, et describantur circuli paralleli $NH\Xi$, $O\Theta\Pi$, $P\Lambda\Sigma$, $TM\Upsilon$, per quos puncta H, Θ, Λ, M feruntur; dico, maximo tempore arcus AH, $M\Gamma$ occidere, minore autem $H\Theta$, ΛM, minimo autem ΘK, ΛK, ae-

ἔστω μέγιστος τῶν ἀεὶ φανερῶν ὁ τυΦ, καὶ γεγράφθωσαν διὰ τῶν Η, Θ μέγιστοι κύκλοι οἱ υΗΩΧ, ΦΘΨ ἐφαπτόμενοι τοῦ τυΦ κύκλου, ὥστε ἀσύμπτωτα εἶναι τὰ ἀπὸ τῶν υ, Φ ἡμικύκλια ὡς ἐπὶ τὰ ΗΧ, ΘΨ μέρη τῷ ἀπὸ τοῦ τ ἡμικυκλίῳ ὡς ἐπὶ τὰ τ, Α μέρη· ὁμοία ἄρα ἐστὶν ἡ μὲν ΗΝ περιφέρεια ἑκατέρᾳ τῶν ΩΟ, ΧΕ, ἡ δὲ ΘΩ τῇ ΨΧ· ἐν ἴσῳ ἄρα χρόνῳ τὸ Η τὴν ΗΝ περιφέρειαν διαπορεύεται καὶ τὸ Ω τὴν ΩΟ. ἀλλ' ὁ χρόνος, ἐν ᾧ τὸ Η τὴν ΗΝ περιφέρειαν διαπορεύεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ δύνει ἡ ΗΑ περιφέρεια· καὶ ὁ χρόνος ἄρα, ἐν ᾧ τὸ Ω τὴν ΩΟ διαπορεύεται, ὁ αὐτός ἐστι τῷ χρόνῳ, ἐν ᾧ δύνει ἡ ΗΑ περιφέρεια. πάλιν ἐπεὶ ὁ χρόνος, ἐν ᾧ τὸ Θ τὴν ΘΟ διαπορεύεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ δύνει ἡ ΘΑ περιφέρεια, ὧν ἀφαιρεῖται ὁ χρόνος, ἐν ᾧ τὸ Ω τὴν ΩΟ διαπορεύεται, ὁ αὐτὸς ὢν τῷ χρόνῳ, ἐν ᾧ δύνει ἡ ΗΑ περιφέρεια, λοιπὸς ἄρα ὁ χρόνος, ἐν ᾧ τὸ Θ τὴν ΘΩ διαπορεύεται, ὁ αὐτός ἐστι τῷ χρόνῳ, ἐν ᾧ δύνει ἡ ΗΘ περιφέρεια· ὁμοία δέ ἐστιν ἡ μὲν ΟΩ τῇ ΕΧ, ἡ δὲ ΩΘ τῇ ΧΨ· καὶ ὁ χρόνος ἄρα, ἐν ᾧ τὸ Χ τὴν ΧΕ διαπορεύεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ δύνει ἡ ΗΑ περιφέρεια· ὁ δὲ χρόνος, ἐν ᾧ τὸ Ψ τὴν ΨΧ διαπορεύεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ δύνει ἡ ΘΗ περιφέρεια. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ χρόνος, ἐν ᾧ τὸ Κ τὴν ΚΨ διαπορεύεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ δύνει ἡ ΚΘ περιφέρεια. καὶ ἐπεὶ ἐν σφαίρᾳ μέγιστος ὁ ΑΒΓ ἐφάπτεταί τινος κύκλου τῶν παραλλήλων τοῦ τυΦ καὶ τὸν ΑΒΓ τέμνουσιν οἱ μέγιστοι κύκλοι οἱ ΕΖ, ΑΓ, ὧν ὁ μὲν ΕΖ μέγιστος τῶν παραλλήλων, ὁ δὲ ΑΓ λοξὸς πρὸς τοὺς παραλλήλους, καὶ ἀπειλημμέναι εἰσὶ περιφέρειαι αἱ ΑΗ, ΗΘ, ΘΚ ἐπὶ τῆς τοῦ λοξοῦ κύκλου περιφερείας ἴσαι ἑξῆς ἐπὶ τὰ αὐτὰ μέρη τοῦ μεγίστου τῶν παραλλήλων, καὶ διὰ τῶν Η, Θ σημείων γεγραμμένοι εἰσὶ μέγιστοι κύκλοι οἱ υΗΧ, ΦΘΨ ἐφαπτόμενοι τοῦ

17. ὁ] supra add. m. 1 Vat. 23. τά] -α supra m. 1 Vat.

quali vero tempore eos, qui ab aequinoctiali aequali intervallo distent.

sit maximus circulorum, qui semper conspicui sunt, $\tau v \Phi$, et describantur per puncta H, Θ circuli maximi $vH\Omega X$, $\Phi\Theta\Psi$ ita contingentes circulum $\tau v \Phi$, ut semicirculi ab v, Φ ad partes HX, $\Theta\Psi$ cum semicirculo ab τ velut ad partes τ, A non concurrant [Theodos. II, 15]. itaque arcus HN utrique arcui ΩO, XE similis est, $\Theta\Omega$ autem arcui ΨX [ib. II, 13]. aequali igitur tempore H arcum HN percurrit atque Ω arcum ΩO. verum tempus, quo H arcum HN percurrit, tempus est, quo arcus HA occidit. quare etiam tempus, quo Ω arcum ΩO percurrit, idem est atque tempus, quo arcus HA occidit. rursus quoniam tempus, quo Θ arcum ΘO percurrit, tempus est, quo arcus ΘA occidit, a quibus tempus aufertur, quo Ω arcum ΩO percurrit, quod idem est ac tempus, quo arcus HA occidit, reliquum tempus, quo Θ arcum $\Theta\Omega$ percurrit, idem est ac tempus, quo arcus $H\Theta$ occidit. verum arcus $O\Omega$ arcui EX similis est, $\Omega\Theta$ autem arcui $X\Psi$. quare etiam tempus, quo X arcum XE percurrit, tempus est, quo arcus HA occidit, tempus autem, quo Ψ arcum ΨX percurrit, tempus est, quo arcus ΘH occidit. eadem de causa etiam tempus, quo K arcum $K\Psi$ percurrit, tempus est, quo arcus $K\Theta$ occidit. et quoniam in sphaera circulus maximus $AB\Gamma$ aliquem parallelorum circulum $\tau v \Phi$ contingit et circulum $AB\Gamma$ circuli maximi EZ, $A\Gamma$ secant, quorum EZ maximus est parallelorum, $A\Gamma$ autem obliquus ad parallelos, et abscisi sunt arcus AH, $H\Theta$, ΘK in circuli obliqui circumferentia aequales deinceps ad partes easdem maximi parallelorum, et per puncta H, Θ circuli maximi parallelorum vHX, $\Phi\Theta\Psi$ circulum $\tau v \Phi$ con-

25. $AB\Gamma$] add. Δ m. 2 Vat., item lin. 27. 33. vHX] post H inser. Ω m. 2 Vat.

τυΦ κύκλου, μείζων ἐστὶν ἡ μὲν ΕΧ περιφέρεια τῆς ΧΨ περιφερείας, ἡ δὲ ΧΨ τῆς ΨΚ· ἐν πλείονι ἄρα χρόνῳ τὸ Χ τὴν ΧΕ διαπορεύεται ἤπερ τὸ Ψ τὴν ΨΧ, καὶ τὸ Ψ τὴν ΨΧ ἐν πλείονι χρόνῳ διαπορεύεται ἤπερ τὸ Κ τὴν ΚΨ· ἀλλ' ὁ μὲν χρόνος, ἐν ᾧ τὸ Χ τὴν ΧΕ διαπορεύεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ τὸ Η τὴν ΗΝ περιφέρειαν διαπορεύεται, τουτέστιν ἐν ᾧ δύνει ἡ ΑΗ περιφέρεια· ὁ δὲ χρόνος, ἐν ᾧ τὸ Ψ τὴν ΨΧ διαπορεύεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ τὸ Θ τὴν ΘΩ διαπορεύεται, τουτέστιν ὁ χρόνος, ἐν ᾧ δύνει ἡ ΘΗ περιφέρεια· ὁ δὲ χρόνος, ἐν ᾧ τὸ Κ τὴν ΚΨ διαπορεύεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ δύνει ἡ ΚΘ περιφέρεια· ἐν πλείονι ἄρα χρόνῳ δύνει ἡ μὲν ΑΗ περιφέρεια τῆς ΗΘ περιφερείας, ἡ δὲ ΗΘ τῆς ΘΚ.

λέγω δή, ὅτι ἐν ἴσοις χρόνοις αἱ ἴσον ἀπέχουσαι τοῦ ἰσημερινοῦ δύνουσιν.

γενομένου γὰρ δὴ τοῦ Κ σημείου ἐπὶ τὸ Ε σημεῖον, ὁ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω τὴν ϛΕλ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ϛΕ περιφέρεια τῇ Ελ περιφερείᾳ καί ἐστι μέγιστος τῶν παραλλήλων ὁ ΕΖ, ἴσος ἄρα ἐστὶν ὁ ϛΘΠ κύκλος τῷ ΡΛΣ κύκλῳ· ἴση ἄρα ἐστὶ καὶ ἡ ΟΕ περιφέρεια τῇ ΕΡ περιφερείᾳ. ἔστι δὲ καὶ ἡ ϛΕ τῇ Ελ· ἴση ἄρα καὶ ἡ ἀπὸ τοῦ ϛ ἐπὶ τὸ Ο τῇ ἀπὸ τοῦ Ρ ἐπὶ τὸ λ. καί εἰσιν ἴσοι κύκλοι οἱ ϛΘΠ, ΡΛΣ· ὁμοία ἄρα ἐστὶν ἡ ϛΟ περιφέρεια τῇ Ρλ περιφερείᾳ· ἐν ἴσῳ ἄρα χρόνῳ τὸ λ σημεῖον τὴν λΡ διαπορεύεται καὶ τὸ Ο τὴν Οϛ. ἀλλ' ὁ μὲν χρόνος, ἐν ᾧ τὸ λ τὴν λΡ διαπορεύεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ δύνει ἡ λΕ περιφέρεια, ὁ δὲ χρόνος, ἐν ᾧ τὸ Ο τὴν Οϛ διαπορεύεται, ἴσος ἐστὶ τῷ χρόνῳ, ἐν ᾧ δύνει ἡ Εϛ περιφέρεια· ἐν ἴσῳ ἄρα χρόνῳ δύνουσιν αἱ λΕ, Εϛ περιφέρειαι. ἴση δὲ ἡ μὲν λΕ τῇ ΛΚ, ἡ δὲ Εϛ τῇ ΚΘ· αἱ ΛΚ, ΚΘ ἄρα ἐν ἴσῳ χρόνῳ δύνουσιν. ὁμοίως δὲ δείξομεν, ὅτι καὶ αἱ ΜΚ, ΚΗ ἐν ἴσῳ χρόνῳ δύνουσιν, ὧν αἱ ΛΚ, ΚΘ ἐν ἴσῳ χρόνῳ

tingentes, maior est arcus EX arcu $X\Psi$, $X\Psi$ autem arcu ΨK [Theodos. III, 8]. itaque X arcum XE maiore tempore percurrit quam Ψ arcum ΨX et Ψ arcum ΨX maiore tempore percurrit quam K arcum $K\Psi$. verum tempus, quo X arcum XE percurrit, tempus est, quo H arcum HN percurrit, hoc est, quo arcus AH occidit; tempus autem, quo Ψ arcum ΨX percurrit, tempus est, quo Θ arcum $\Theta\Omega$ percurrit, hoc est tempus, quo arcus ΘH occidit; tempus autem, quo K arcum $K\Psi$ percurrit, tempus est, quo arcus $K\Theta$ occidit. ergo maiore tempore arcus AH occidit arcu $H\Theta$, $H\Theta$ autem arcu ΘK.

iam dico, eos arcus, qui ab aequinoctiali aequali intervallo distent, aequalibus temporibus occidere.

nam cum punctum K ad punctum E pervenerit, circulus zodiacus positionem habeat ςE. et quoniam arcus ςE arcui $E\lambda$ aequalis est et EZ maximus parallelorum est, circulus $\varsigma\Theta\Pi$ circulo $P\Lambda\Sigma$ aequalis est [ib. II, 17]. quare etiam arcus OE arcui EP aequalis est [ib. II, 18]; verum etiam ςE arcui $E\lambda$; itaque etiam recta ab ς ad O rectae ab P ad λ aequalis est [ib. III, 3]. et aequales sunt circuli $\varsigma\Theta\Pi$, $P\Lambda\Sigma$. quare arcus ςO arcui $P\lambda$ similis est [ib. II, 13]. aequali igitur tempore punctum λ arcum λP percurrit atque O arcum $O\varsigma$. verum tempus, quo λ arcum λP percurrit, tempus est, quo arcus λE occidit, tempus autem, quo O arcum $O\varsigma$ percurrit, aequale est tempori, quo arcus $E\varsigma$ occidit. aequali igitur tempore arcus λE, $E\varsigma$ occidunt. verum aequalis est λE arcui ΛK, $E\varsigma$ autem arcui $K\Theta$. ergo ΛK, $K\Theta$ aequali tempore occidunt. similiter autem demonstrabimus, etiam arcus MK, KH aequali tempore occidere, quorum partes ΛK, $K\Theta$ aequali tempore occidunt. ita-

---

1. *μειζον* Vat. 10. *δύναι*] add. m. 1 Vat. 33. *δέ*] mut. in *δή* m. 2 Vat.

δύνουσιν· λοιπαὶ ἄρα αἱ ΜΔ, ΘΗ ἐν ἴσῳ χρόνῳ δύνουσιν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ αἱ ΜΓ, ΔΗ περιφέρειαι ἐν ἴσῳ χρόνῳ δύνουσιν. καὶ ἐπεὶ ἐν πλείονι χρόνῳ δύνει ἡ ΔΗ περιφέρεια ἥπερ ἡ ΗΘ καὶ ἡ ΗΘ ἥπερ ἡ ΘΚ, ἐν πλείονι ἄρα χρόνῳ δύνει ἡ ΓΜ περιφέρεια ἥπερ ἡ ΜΔ, καὶ ἡ ΜΔ ἥπερ ἡ ΔΚ. ἐν πλείστῳ ἄρα χρόνῳ δύνουσιν αἱ ΔΗ, ΜΓ περιφέρειαι, ἐν ἐλάσσονι δὲ αἱ ΗΘ, ΔΜ ἐν ἐλαχίστῳ δὲ αἱ ΘΚ, ΔΚ, ἐν ἴσῳ δὲ αἱ ἴσον ἀπέχουσαι τοῦ ἰσημερινοῦ καὶ δύνουσι καὶ ἀνατέλλουσιν.

3.

Ad prop. XIV.

Ἄλλως τὸ ιδ'.

Ἔστι δὲ καὶ αὕτη ἔκθεσις σαφεστέρα τῆς προτέρας. ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓ, καὶ μέγιστος μὲν τῶν ἀεὶ φανερῶν ὁ ΑΔΕ, μέγιστος δὲ τῶν ἀεὶ ἀφανῶν ὁ ΖΗΘ, καὶ θερινὸς μὲν τροπικὸς ἔστω ὁ ΚΛ, χειμερινὸς δὲ τροπικὸς ὁ ΒΓ, καὶ ἔστω ὁ τοῦ ΑΒΓ κύκλου πόλος μεταξὺ τῶν ΑΔΕ, ΚΛ κύκλων, καὶ ἔστω ἀνατολικὰ μὲν τὰ Α, Γ μέρη, δυτικὰ δὲ τὰ Κ, Β, ζῳδιακοῦ δὲ θέσεις ἔστωσαν τοῦ μετὰ τὸν Καρκίνον ἡμικυκλίου αἱ ΝΞ, ΟΠ. καὶ ἀπειλήφθω ἡ ΟΠ περιφέρεια μὴ μείζων ἡμικυκλίου οὖσα, καὶ γεγράφθω διὰ τοῦ Π μέγιστος κύκλος ἐφαπτόμενος τοῦ ΑΔΕ· ἐφάψεται ἄρα καὶ τοῦ ΖΗΘ. ἤτοι δὴ διὰ τοῦ Ο σημείου ἥξει ἢ ὑπερπεσεῖται τὸ Ο σημεῖον. γεγράφθω καὶ ἔστω ὁ ΕΘΠ, ὥστε ἀσύμπτωτον εἶναι τὸ ἀπὸ τοῦ Ε ἡμικύκλιον ὡς ἐπὶ τὰ Ε, Ξ, Π μέρη τῷ ἀπὸ τοῦ Α ἡμικυκλίῳ ὡς ἐπὶ τὰ Α, Κ, Ρ μέρη, καὶ προσαναπεπληρώσθωσαν οἱ ΞΝς, ΠΟΡ κύκλοι. ἐπεὶ ἐν σφαίρᾳ μέγιστος κύκλος ἐστὶν ὁ

5. ἡ (pr.)] add. m. 2 Vat. πλείονι] -ι- add. m. 2 Vat. Ante ἡ (alt.) add. καί m. 2 Vat. 10. Seq. in Vat. schol. nr. 122

que reliqui arcus MA, ΘH aequali tempore occidunt. iam similiter demonstrabimus, etiam arcus $M\Gamma$, AH aequali tempore occidere. et quoniam arcus AH maiore tempore occidit quam $H\Theta$ et $H\Theta$ quam ΘK, arcus ΓM maiore tempore occidit quam MA et MA quam AK. ergo maximo tempore arcus AH, $M\Gamma$ occidunt, minore autem $H\Theta$, AM, minimo autem ΘK, AK, aequali autem ii, qui ab aequinoctiali aequali intervallo distant, et occidunt et oriuntur.

3.

Ad prop. XIV.

Aliter propositio XIV.

Est autem etiam haec explicatio magis perspicua priore.

sit in mundo horizon $AB\Gamma$ et maximus circulorum, qui semper conspicui sunt, $A\Delta E$, maximus autem eorum, qui semper occulti sunt, $ZH\Theta$, et aestivus tropicus sit KA, hiemalis autem tropicus $B\Gamma$, et sit polus circuli $AB\Gamma$ inter circulos $A\Delta E$, KA, et sint partes orientales A, Γ, occidentales autem K, B, zodiaci autem semicirculi, qui post Cancrum est, positiones sint $N\Xi$, $O\Pi$, et auferatur arcus $O\Pi$ ita, ut non maior sit semicirculo, et describatur per Π circulus circulum $A\Delta E$ contingens. quare etiam circulum $ZH\Theta$ continget. iam aut per punctum O veniet aut punctum O superabit. describatur et sit $E\Theta\Pi$, ita ut semicirculus ab E velut ad E, Ξ, Π partes cum semicirculo ab A usque ad A, K, P partes non concurrat, et compleantur circuli $\Xi N\varsigma$, ΠOP.

---


textui m. rec. insertum. 16. ἀφανῶν] ἀ- add. m. 2 Vat. 20. A, Γ] A om. Vat., add. m. 2. 25. ἡ] om. Vat., add. m. 2. 26. ὁ $E\Theta\Pi$] ὁ et Π in ras. Vat. 28. E] del. m. 2 Vat. 29. A] del. m. 2 Vat. 29. $\Xi N\varsigma$] ΞNB] Vat. 30. ἐπεί] καὶ ἐπεί m. 2 Vat.

ΑΒΓ καὶ τέμνουσι δύο μέγιστοι κύκλοι ἀλλήλους οἱ ϛΝΣ, ΡΟΤΠ καί ἐστιν ὁ τοῦ ΑΒΓ κύκλου πόλος μεταξὺ τῶν ΑΔΕ, ΚΛ περιφερειῶν, μείζων ἄρα ἐστὶν ἡ ΣΝΤ περιφέρεια τῆς ΥΤ περιφερείας· ἡ ΤΥ ἄρα περιφέρεια τῆς ΥΝΣ ἐλάσσων ἐστίν. καὶ ἐπεὶ ἐν σφαίρᾳ δύο μέγιστοι κύκλοι οἱ ΑΒΓ, ΕΘΠ τοῦ αὐτοῦ κύκλου ἐφάπτονται τοῦ ΑΔΕ καὶ τῷ ΑΔΕ παράλληλον ὄντα τὸν ΚΛ τέμνουσι καί ἐστιν ὁ τοῦ ΑΒΓ πόλος μεταξὺ τῶν ΑΔΕ, ΚΛ κύκλων, καὶ ὁ τοῦ ΕΘΠ ἄρα πόλος μεταξύ ἐστι τῶν ΑΔΕ, ΚΛ κύκλων. ὁ ἄρα ἕτερος αὐτοῦ πόλος ἐστὶ μεταξὺ τῶν ΗΖΘ, ΒΓ κύκλων. ἐπεὶ οὖν ἐν σφαίρᾳ μέγιστος κύκλος ἐστὶν ὁ ΕΘΠ καὶ τὸν ΕΘΠ τέμνουσι δύο μέγιστοι κύκλοι οἱ ΡΟΠ, ϛΝΞ καί ἐστιν ὁ τοῦ ΕΘΠ πόλος μεταξὺ τῶν ΒΓ, ΗΘΖ, μείζων ἐστὶν ἡ ΠΥ περιφέρεια τῆς ΥΝΞ περιφερείας, ὧν ἡ ΥΤ τῆς ΥΝΣ ἐλάσσων ἐστίν· λοιπὴ ἄρα ἡ ΤΠ λοιπῆς τῆς ΣΞ μείζων ἐστίν. κείσθω τῇ ΣΞ περιφερείᾳ ἴση περιφέρεια ἡ ΤΧ καὶ γεγράφθωσαν παράλληλοι κύκλοι, καθ' ὧν φέρεται τὰ Ξ Χ σημεῖα, οἱ ΞΨ, Ωϛ· ὁμοία ἄρα ἐστὶν ἡ ΞΨ περιφέρεια τῇ Ω^{5} περιφερείᾳ· ἡ ΞΨ ἄρα τῆς Χϛ μείζων ἐστὶν ἢ ὁμοία· ἐν πλείονι ἄρα χρόνῳ τὸ Ξ σημεῖον τὴν ΞΨ περιφέρειαν διαπορεύεται ἤπερ τὸ Χ τὴν Χϛ. ἀλλ' ὁ μὲν χρόνος, ἐν ᾧ τὸ

---

2. ϛ*ΝΣ*] *ΒΝΣ* Vat. 5. *ΥΝΣ*] add. *περιφερείας* m. 2 Vat.
13. ϛ*ΝΞ*] *ΒΝΞ* Vat. 17. *λοιπῆς*] add. m. 2 Vat.

quoniam in sphaera circulus maximus $AB\Gamma$ est et duo circuli maximi $\varsigma N\Sigma$, $POT\Pi$ inter se secant et circuli $AB\Gamma$ polus inter arcus $A\Delta E$, $K\Lambda$ est, arcus $\Sigma N\Upsilon$ arcu ΥT maior est [Theodos. II, 22]. quare arcus $T\Upsilon$ arcu $\Upsilon N\Sigma$ minor est. et quoniam in sphaera duo circuli maximi $AB\Gamma$, $E\Theta\Pi$ eundem circulum $A\Delta E$ contingunt et circulum $K\Lambda$, qui circulo $A\Delta E$ parallelus est, secant et polus circuli $AB\Gamma$ inter circulos $A\Delta E$, $K\Lambda$ est, etiam circuli $E\Theta\Pi$ polus inter circulos $A\Delta E$, $K\Lambda$ est. itaque alter eius polus inter circulos $HZ\Theta$, $B\Gamma$ est. iam quoniam in sphaera circulus maximus $E\Theta\Pi$ est et duo circuli maximi $PO\Pi$, $\varsigma N\Xi$ circulum $E\Theta\Pi$ secant et polus circuli $E\Theta\Pi$ inter $B\Gamma$, $H\Theta Z$ est, arcus $\Pi\Upsilon$ arcu $\Upsilon N\Xi$ maior est, quorum ΥT arcu $\Upsilon N\Sigma$ minor est; reliquus igitur arcus $T\Pi$ reliquo $\Sigma\Xi$ maior est. ponatur arcui $\Sigma\Xi$ aequalis arcus TX et describantur circuli paralleli, per quos puncta Ξ, X feruntur, $\Xi\Psi$, $\Omega\varsigma$. itaque arcus $\Xi\Psi$ arcui $\Omega\varsigma$ similis est [ib. II, 13]. quare $\Xi\Psi$ arcu $X\varsigma$ maior est quam similis. maiore igitur tempore punctum Ξ arcum $\Xi\Psi$ percurrit quam X arcum $X\varsigma$. verum tempus,



Ξ σημεῖον τὴν ΞΨ περιφέρειαν διαπορεύεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ ΣΞ περιφέρεια ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον· ὁ δὲ χρόνος, ἐν ᾧ τὸ Χ σημεῖον τὴν Χς περιφέρειαν διαπορεύεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ ΤΧ ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον· ἐν πλείονι ἄρα χρόνῳ ἡ ΣΞ ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ ΤΧ. καί ἐστιν ἡ ΣΞ ἔγγιον τοῦ θερινοῦ τροπικοῦ ἤπερ ἡ ΤΧ. ἐν πλείονι ἄρα χρόνῳ ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον ἡ ἔγγιον τοῦ θερινοῦ τροπικοῦ τῆς ἀπώτερον.

ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ μετὰ τὸν Αἰγόκερων ἡμικυκλίου αἱ ἴσαι περιφέρειαι οὐκ ἐν ἴσοις χρόνοις ἐξαλλάσσουσι τὸ φανερὸν ἡμισφαίριον, ἀλλ' ἐν πλείονι ἡ ἔγγιον τοῦ θερινοῦ τροπικοῦ τῆς ἀπώτερον, ἐν ἴσῳ δὲ αἱ ἴσον ἀπέχουσαι ὁποτερασοῦν τῶν συναφῶν.

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓΔ, καὶ θερινὸς μὲν τροπικὸς ὁ ΑΔ, ὁ δὲ τῶν ζῳδίων κύκλος θέσιν ἐχέτω τὴν ΒΕΓ, καὶ ἔστω ἡ μὲν ΒΕ περιφέρεια ἐπὶ τοῦ μετὰ τὸν Αἰγόκερων ἡμικυκλίου, ἡ δὲ ΕΓ ἐπὶ τοῦ μετὰ τὸν Καρκίνον, καὶ ἔστωσαν ἀνατολικὰ μὲν τὰ Δ μέρη, δυτικὰ δὲ τὰ Β, καὶ ἀπειλήφθωσαν ἴσαι περιφέρειαι αἱ ΖΗ, ΗΘ· λέγω, ὅτι ἡ ΖΗ ἐν πλείονι χρόνῳ ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ ΗΘ.


γεγράφθωσαν παράλληλοι κύκλοι οἱ ΚΛ, ΜΝ, ΞΟ, καθ' ὧν φέρεται τὰ Ζ, Η, Θ σημεῖα· ἴση ἄρα ἐστὶν ἡ ΖΗ περιφέρεια τῇ ΠΡ περιφερείᾳ, ἡ δὲ ΗΘ τῇ ΡΣ· ἀλλ' ἡ ΖΗ τῇ ΗΘ ἐστιν ἴση· καὶ ἡ ΠΡ ἄρα τῇ ΡΣ

---

11. ιε' Vat., sed atram. rubro del. et mg. scr. ἄλλως τὸ ιε'.
26. Post ΗΘ add. περιφέρεια (comp.) m. 2 Vat.

quo punctum Ξ arcum $\Xi\Psi$ percurrit, tempus est, quo arcus $\Sigma\Xi$ conspicuum hemisphaerium permutat, tempus autem, quo punctum X arcum $X\varsigma$ percurrit, tempus est, quo TX conspicuum hemisphaerium permutat; maiore igitur tempore $\Sigma\Xi$ conspicuum hemisphaerium permutat quam TX. et arcus $\Sigma\Xi$ aestivo tropico propior est quam TX. maiore igitur tempore arcus, qui aestivo tropico propior est, conspicuum hemisphaerium permutat quam is, qui remotior est.

eadem ratione etiam in semicirculo, qui post Capricornum est, arcus aequales non aequalibus temporibus conspicuum hemisphaerium permutant, sed maiore is, qui tropico aestivo propior est, quam qui remotior, aequali autem ii, qui ab utrovis contactu aequali intervallo distant.



sit in mundo horizon $AB\Gamma\Delta$, et tropicus aestivus $\Lambda\Delta$, circulus zodiacus autem positionem habeat $BE\Gamma$, et sit arcus BE in semicirculo post Capricornum, $E\Gamma$ autem in semicirculo post Cancrum, et sint partes orientales Δ, occidentales autem B, et auferantur arcus aequales ZH, $H\Theta$; dico, arcum ZH conspicuum hemisphaerium maiore tempore permutare quam $H\Theta$.

describantur circuli paralleli $K\Lambda$, MN, ΞO, per quos puncta Z, H, Θ feruntur. itaque arcus ZH arcui ΠP aequalis est, $H\Theta$ autem arcui $P\Sigma$. verum ZH arcui $H\Theta$ aequalis est. quare etiam ΠP arcui $P\Sigma$ aequalis

ἐστιν ἴση. καὶ ἐπεὶ ἐν ᾧ χρόνῳ ἡ ΠΡ δύνει, ἡ ΖΗ ἀνατέλλει, κοινὸς προσκείσθω ὁ χρόνος, ἐν ᾧ τὸ Π σημεῖον τὴν ΚΛ περιφέρειαν διαπορεύεται, ἴσος ὢν τῷ χρόνῳ, ἐν ᾧ τὸ Ζ σημεῖον τὴν ΚΛ περιφέρειαν διαπορεύεται. ὁ ἄρα χρόνος, ἐν ᾧ τὸ Π σημεῖον τὴν ΚΛ περιφέρειαν διαπορεύεται καὶ ἡ ΠΡ δύνει, ἴσος ἐστὶ τῷ χρόνῳ, ἐν ᾧ ἡ ΖΗ περιφέρεια ἀνατέλλει καὶ τὸ Ζ σημεῖον τὴν ΚΛ περιφέρειαν διαπορεύεται. ἀλλ' ὁ μὲν χρόνος, ἐν ᾧ τὸ Π σημεῖον τὴν ΚΛ περιφέρειαν διαπορεύεται καὶ ἡ ΠΡ δύνει, ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ ΠΡ ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον· ὁ δὲ χρόνος, ἐν ᾧ ἡ ΖΗ ἀνατέλλει καὶ τὸ Ζ σημεῖον τὴν ΚΛ περιφέρειαν διαπορεύεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ ΖΗ ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον· αἱ ΖΗ, ΠΡ ἄρα ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσι τὸ φανερὸν ἡμισφαίριον. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ αἱ ΗΘ, ΡΣ ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσι τὸ φανερὸν ἡμισφαίριον. ἡ δὲ ΠΡ τῆς ΡΣ ἐν πλείονι χρόνῳ ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον, καὶ ἀπεδείχθησαν αἱ ΖΗ, ΠΡ ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσαι τὸ φανερὸν ἡμισφαίριον· καὶ ἡ ΖΗ ἄρα ἐν πλείονι χρόνῳ ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ ΗΘ.

τοῦ ἄρα τῶν ζῳδίων κύκλου αἱ ἴσαι περιφέρειαι οὐκ ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσι τὸ φανερὸν ἡμισφαίριον, ἀλλ' ἐν πλείονι ἡ ἔγγιον τοῦ θερινοῦ τροπικοῦ τῆς ἀπώτερον. καὶ συναποδέδεικται, ὅτι αἱ ἴσον ἀπέχουσαι ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσιν.

4.

Ad prop. 15.

Ἄλλως τὸ αὐτό.

Τοῦ τῶν ζῳδίων κύκλου τῶν ἴσων τε καὶ ἀπεναντίον περιφερειῶν ἐν ᾧ χρόνῳ ἡ μία ἐξαλλάσσει τὸ φανερὸν

6. δύνει] add. m. 2 Vat. Seq. in Vat. scholia nr. 127, 128,

est. et quoniam quo tempore ΠP occidit, ZH oritur, commune adiciatur tempus, quo punctum Π arcum $K\Lambda$ percurrit, quod aequale est tempori, quo punctum Z arcum $K\Lambda$ percurrit. itaque tempus, quo punctum Π arcum $K\Lambda$ percurrit et ΠP occidit, aequale est tempori, quo arcus ZH oritur et punctum Z arcum $K\Lambda$ percurrit. verum tempus, quo punctum Π arcum $K\Lambda$ percurrit et ΠP occidit, tempus est, quo ΠP conspicuum hemisphaerium permutat; tempus autem, quo ZH oritur et punctum Z arcum $K\Lambda$ percurrit, tempus est, quo ZH conspicuum hemisphaerium permutat. itaque ZH, ΠP aequali tempore conspicuum hemisphaerium permutant. iam similiter demonstrabimus, etiam $H\Theta$, $P\Sigma$ aequali tempore conspicuum hemisphaerium permutare. verum ΠP maiore tempore conspicuum hemisphaerium permutat quam $P\Sigma$, et demonstratum est, ZH, ΠP aequali tempore conspicuum hemisphaerium permutare. itaque ZH maiore tempore conspicuum hemisphaerium permutat quam $H\Theta$.

ergo aequales circuli zodiaci arcus non aequali tempore conspicuum hemisphaerium permutant, sed maiore is, qui aestivo tropico propior est, quam is, qui remotior est. et simul demonstratum est arcus, qui aequali intervallo distent, aequali tempore permutare.

4.

Ad prop. XV.

Aliter idem.

Circuli zodiaci arcuum, qui et aequales et oppositi sunt, quo tempore unus conspicuum hemisphaerium

---

129. 29. *ις′ ἐκ περισσοῦ* Vat., sed atr. rubro del. et scr. *ἄλλως τὸ αὐτό*. 30. *κύκλου*] *κύκλον* (*-ον* in ras.) Vat.


ἡμισφαίριον, ἡ ἑτέρα τὸ ἀφανές, καὶ πάλιν, ἐν ᾧ χρόνῳ ἡ μία τὸ ἀφανές, καὶ ἡ ἑτέρα τὸ φανερόν.

ἔστω ὁρίζων κύκλος ὁ *ΑΒΓΔ*, καὶ θερινὸς μὲν τροπικὸς ὁ *ΒΔ*, χειμερινὸς δὲ ὁ *ΓΔ*, ὁ ζῳδιακὸς δὲ κύκλος θέσιν ἐχέτω ὡς τὴν *ΑΕΓΖ*, καὶ ἀπειλήφθωσαν ἴσαι τε καὶ ἀπεναντίον περιφέρειαι αἱ *ΕΗ*, *ΖΘ*· λέγω, ὅτι, ἐν ᾧ χρόνῳ ἡ *ΖΘ* ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον, ἡ *ΕΗ* τὸ ἀφανές.

ἔστωσαν καθ' ὧν φέρεται τὰ *Θ*, *Ζ*, *Ε*, *Η* σημεῖα παράλληλοι κύκλοι οἱ *ΚΘΛ*, *ΜΝΞΖ*, *ΕΟΠΡ*, *ΣΗΤ*, καὶ μετακεκινήσθω ὁ τῶν ζῳδίων κύκλος καὶ ὅτε μὲν θέσιν ἐχέτω τὴν *ΥΛΦ*, ὅτε δὲ τὴν *ΧΣΨ*. καὶ ἐπεὶ αἱ *ΖΘ*, *ΕΗ* περιφέρειαι ἴσαι τε καὶ ἀπεναντίον εἰσίν, ἴσοι εἰσὶ καὶ οἱ *ΜΝΞ*, *ΟΠΡ* κύκλοι, τῶν δὲ ἴσων τε καὶ παραλλήλων κύκλων τὰ ἐναλλὰξ τμήματα ἴσα ἐστὶν ἀλλήλοις· τὸ ἄρα ὑπὲρ γῆν τοῦ *ΜΝΞΖ* κύκλου τὸ *ΜΝΞ* ἴσον ἐστὶ τῷ ὑπὸ γῆν τοῦ *ΟΕΡΠ* κύκλου τῷ *ΟΠΡ*. πάλιν ἐπεὶ αἱ *ΖΘ*, *ΕΗ* ἴσαι τε καὶ ἀπεναντίον εἰσίν, ἐν ᾧ χρόνῳ ἡ *ΖΘ* ἀνατέλλει, ἐν τούτῳ ἡ *ΕΗ* δύνει. ἀλλ' ὁ μὲν χρόνος, ἐν ᾧ ἡ *ΖΘ* ἀνατέλλει, τουτέστιν ἡ *ΥΔ*, ὁ χρόνος ἐστίν, ἐν ᾧ τὸ *Υ* σημεῖον ἀρξάμενον ἀπὸ τοῦ *Υ* τὴν *ΥΞ* περιφέρειαν διελθὸν ἐπὶ τὸ *Ξ* παραγίγνεται, ὁ δὲ χρόνος, ἐν ᾧ ἡ *ΕΗ* δύνει, τουτέστιν ἡ *ΧΣ*, ὁ χρόνος ἐστίν, ἐν ᾧ τὸ *Χ* ἀρξάμενον ἀπὸ τοῦ *Χ* τὴν *ΧΟ* περιφέρειαν διελθὸν ἐπὶ τὸ *Ο* παραγίγνεται· ὁ ἄρα χρόνος, ἐν ᾧ τὸ *Υ* ἀρξάμενον ἀπὸ τοῦ *Υ* τὴν *ΥΞ* περιφέρειαν διελθὸν ἐπὶ τὸ *Ξ* παραγίγνεται, ἴσος ἐστὶ τῷ χρόνῳ, ἐν ᾧ τὸ *Χ* ἀρξάμενον ἀπὸ τοῦ *Χ* τὴν *ΧΟ* περιφέρειαν διελθὸν ἐπὶ τὸ *Ο* παραγίγνεται. κοινὸς προσκείσθω ὁ χρόνος, ἐν ᾧ τὸ *Υ* ἀρξάμενον ἀπὸ τοῦ *Ξ* τὴν *ΞΝΜ* περιφέρειαν διελθὸν ἐπὶ τὸ *Μ* παραγίγνεται, ἴσος ἂν τῷ χρόνῳ, ἐν ᾧ τὸ *Χ* ἀρξάμενον ἀπὸ τοῦ *Ο* τὴν *ΟΠΡ* περιφέρειαν διελθὸν ἐπὶ τὸ *Ρ* παραγίγνεται· ὁ ἄρα χρόνος, ἐν ᾧ τὸ *Υ* ἀρξάμενον ἀπὸ τοῦ *Υ* τὴν *ΥΞΝΜ* περι-

permutat, alter permutat occultum, et rursus, quo tempore unus occultum, etiam alter conspicuum.

sit circulus horizon $AB\Gamma\Delta$, et aestivus tropicus BA, hiemalis autem $\Gamma\Delta$, zodiacus autem circulus positionem habeat velut $AE\Gamma Z$, et auferantur arcus et aequales et oppositi EH, $Z\Theta$; dico, quo tempore $Z\Theta$ permutet conspicuum hemisphaerium, eo EH permutare occultum.



sint circuli paralleli, per quos puncta Θ, Z, E, H feruntur, $K\Theta\Delta$, $MN\Xi Z$, $EO\Pi P$, ΣHT, et moveatur circulus zodiacus et positionem habeat modo $\Upsilon\Delta\Phi$, modo $X\Sigma\Psi$. et quoniam arcus $Z\Theta$, EH et aequales et oppositi sunt, etiam circuli $MN\Xi$, $O\Pi P$ aequales sunt. verum circulorum et aequalium et parallelorum alterna segmenta inter se aequalia sunt [Theodos. II, 19]. itaque segmentum $MN\Xi$ circuli $MN\Xi Z$, quod super terram est, aequale est segmento $O\Pi P$ circuli $OEP\Pi$, quod sub terra est. rursus quoniam arcus $Z\Theta$, EH et aequales et oppositi sunt, quo tempore $Z\Theta$ oritur, eo EH occidit [prop. XI]. verum tempus, quo $Z\Theta$, hoc est $\Upsilon\Delta$ occidit, tempus est, quo punctum Υ, postquam ab Υ

φέρειαν διελθὸν ἐπὶ τὸ M παραγίγνεται, ἴσος ἐστὶ τῷ χρόνῳ, ἐν ᾧ τὸ X ἀρξάμενον ἀπὸ τοῦ X τὴν XOΠP περιφέρειαν διελθὸν ἐπὶ τὸ P παραγίγνεται. ἀλλ' ὁ μὲν χρόνος, ἐν ᾧ τὸ Υ ἀρξάμενον ἀπὸ τοῦ Υ τὴν ΥΞNM περιφέρειαν διελθὸν ἐπὶ τὸ M παραγίγνεται, ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ ΥΔ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον, τουτέστιν ἡ ΘZ· ὁ δὲ χρόνος, ἐν ᾧ τὸ X ἀρξάμενον ἀπὸ τοῦ X τὴν XOΠP περιφέρειαν διελθὸν ἐπὶ τὸ P παραγίγνεται, ὁ χρόνος ἐστίν, ἐνῷ ἡ XΣ ἐξαλλάσσει τὸ ἀφανὲς ἡμισφαίριον, τουτέστιν ἡ EH· ἐν ᾧ ἄρα χρόνῳ ἡ ΘZ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον, ἐν τούτῳ ἡ EH τὸ ἀφανές.

---

exorsum arcum ΥΞ percurrit, ad Ξ pervenit, tempus autem, quo *EH*, hoc est *XΣ* occidit, tempus est, quo *X*, postquam ab *X* exorsum arcum *XO* percurrit, ad *O* pervenit. itaque tempus, quo Υ, postquam ab Υ exorsum arcum ΥΞ percurrit, ad Ξ pervenit, aequale est tempori, quo *X*, postquam ab *X* exorsum arcum *XO* percurrit, ad *O* pervenit. commune adiciatur tempus quo Υ, postquam ab Ξ exorsum arcum *ΞNM* percurrit, ad *M* pervenit, quod aequale est tempori, quo *X*, postquam ab *O* exorsum arcum *OΠP* percurrit, ad *P* pervenit. itaque tempus, quo Υ, postquam ab Υ exorsum arcum *ΥΞNM* percurrit, ad *M* pervenit, aequale est tempori, quo *X*, postquam ab *X* exorsum arcum *XOΠP* percurrit, ad *P* pervenit. verum tempus, quo Υ, postquam ab Υ exorsum arcum *ΥΞNM* percurrit, ad *M* pervenit, tempus est, quo *ΥΔ*, hoc est *ΘZ* conspicuum hemisphaerium permutat; tempus autem, quo *X*, postquam ab *X* exorsum arcum *XOΠP* percurrit, ad *P* pervenit, tempus est, quo *XΣ*, hoc est *EH* occultum hemisphaerium permutat. ergo quo tempore *ΘZ* conspicuum hemisphaerium permutat, eo *EH* occultum.

4. *ΥΞNM*] *M* add. m. 2 Vat. 11. *ἀφανές*] sequitur in Vat. m. 2: *ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ἐν ᾧ χρόνῳ ἡ ΘZ ἐξαλλάσσει τὸ ἀφανὲς ἡμισφαίριον, ἐν τούτῳ ἡ EH τὸ φανερόν.*

SCHOLIA IN PHAENOMENA

1. Ad init. *Τρία μόνα ζητοῦνται ἐν τῷδε τῷ συντάγματι· τὸ σφαῖραν εἶναι τὸ πᾶν, τὸ σφαιροειδὲς τὸ ὅμοιον εἶναι, τὸ τὴν γῆν κέντρου λόγον ἐπέχειν.*

2. *Διαστήματα τὰ αὐτὰ ἔχοντα* p. 2,5] *οἷον τοῦ Ὡρίωνος τὸ τυχὸν τὸ ἀπὸ τῆς ζώνης ἄχρις τῶν ποδῶν αὐτοῦ διάστημα τὸ αὐτό ἐστιν ἀεί.*

3. *Ταῦτα δέ ἐστι* p. 2,19] *τὰ μήτε ἀνατέλλοντα δηλαδὴ μήτε δυόμενα.*

4. P. 4,10sqq.] *ταῦτα ὡς πρὸς τοὺς πρὸς τῷ φανερῷ πόλῳ ἀστέρας.*

5. *Ταῦτα πάντα ἔδειξεν ὁ Αὐτόλυκος.*

6. *Ἐν τοῖς ἐναλλὰξ τμήμασι* p. 4,17] *τοῦτο ἐδείχθη ἐν τῷ ιθ' θεωρήματι τοῦ δευτέρου βιβλίου τῶν Σφαιρικῶν.*

7. *Ἐπὶ τῶν λοξῶν κύκλων* p. 6,1] *τοῦ τοῦ γάλακτος δηλαδὴ καὶ τοῦ ζῳδιακοῦ.*

7′. *Περὶ γάλακτος καὶ ζῳδιακοῦ.*

8. *Λαμβανόμενοι* p. 6,2] *ὁρώμενοι.*

9. *Ἀεὶ ἐπὶ ἡμικυκλίων ἴσων φερόμενοι* p. 6,3] *διὰ τοὺς ὅλους ἀστέρας τοῦτό φησι τοὺς ὁρωμένους ἐν τῷ ζῳδιακῷ καὶ ἐν τῷ τοῦ γάλακτος κύκλῳ, ὅτι, εἰ μὴ ἦν ὁ κόσμος σφαιρικός, ἀλλὰ κῶνος ἢ κύλινδρος, οὐ μὴν ἐφαίνετο πάντα ἡμικύκλιον τὸ φαινόμενον τμῆμα τοῦ ζῳδιακοῦ κύκλου ἢ τοῦ γάλακτος, ἀλλά ποτε μεῖζον ἡμικυκλίου, ποτὲ ἔλαττον, καὶ ἄλλου μέντοι καὶ ἄλλου κύ-*

1. Vl. 2. Vat^1 CDλ A p^{1}qrsx. 3. V^{2}l. 4. V^2. 5. V^2. 6. V^2. 7. V^{2}vv^1. 7′. Vat^{2}p^2. 8. V^{3}Llvv^1. 9. V^{2}l^1.

5. *τό* (pr.)] om. λ. *ἄχρι* A r. 17. *γάλακτος*] *γαλαξίου* p. 18. *ἢ ὁρ.* Llvv^1.

κλου τμῆμα, καὶ οὐδὲ κύκλοι δὲ εἶεν οὗτοι, ἀλλὰ παρεγκεκλιμένοι τὰ μάλιστα.

10. *Μὴ παρὰ τὴν βάσιν* p. 6,5] *μὴ παραλλήλω δηλαδή.*

11. *Μὴ παράλληλα παρὰ τὴν βάσιν.*

12. *Τοιούτου σχήματος* p. 6,7] *κώνου ἢ κυλίνδρου.*

13. *Ἀνόμοια τμήματα* p. 6,9] *τὰ κατὰ μῆκος τοῖς κατὰ πλάτος.*

14. *Διὰ δή* p. 6,11] *ὅτι ἀδύνατον, τὸν κόσμον μὴ εἶναι σφαιροειδῆ.*

15. *Ἐν τῷ ἴσῳ χρόνῳ* p. 8,5] *διὰ τὸ β΄ τοῦ Αὐτολύκου.*

16. *Ἑκάτερος τῶν τεμνόντων* p. 8,14] *διὰ τὸ ιβ΄ τοῦ α΄ τῶν Σφαιρικῶν.*

17. *Ἐὰν δὲ ἐν σφαίρᾳ* p. 8,25] *διὰ τὸ ιβ΄ τοῦ Αὐτολύκου. ἐκ τούτου δὲ δῆλον, ὅτι οἱ προδιωρισμένοι ἐπὶ τοῦ ιβ΄ ἀργοὶ φανήσονται, εἴγε οὕτως κείσονται· ἐὰν ἐν σφαίρᾳ μένων κύκλος κύκλον μέγιστον τῶν ἐν τῇ σφαίρᾳ δίχα τέμνῃ, καὶ ὁ μένων μέγιστος ἔσται. ἐπεὶ δὲ ὁ Αὐτόλυκος οὐ δύναται ὁρᾶν μέγιστον, διὰ τοῦτο προδιορίζεται λέγων· ἐὰν ἐν σφαίρᾳ μένων κύκλος φερόμενόν τινα τῶν ἐν τῇ σφαίρᾳ κύκλων ἀεὶ δίχα τέμνει, ὁ δ᾽ ἕτερος αὐτῶν μήτε πρὸς ὀρθὰς ἢ τῷ ἄξονι μήτε διὰ τῶν πόλων τῆς σφαίρας, ἑκάτερος αὐτῶν μέγιστος ἔσται.*

18. *Διὰ τὸ ιβ΄ τοῦ Αὐτολύκου, εἰ γράφεται· ὁ δ᾽ ἕτερος αὐτῶν μήτε πρὸς ὀρθὰς ἢ τῷ ἄξονι μήτε διὰ τῶν πόλων, ἀλλὰ μὴ γράφεται 'μηδέτερον'.*


19. *Τί ἐξαλλαγὴ τῆς περιφερείας ἢ ἡμισφαιρίου;*

20. P. 10,3] *τουτέστι τότε διέρχεταί τις περιφέρεια τὸ φανερὸν ἡμισφαίριον ἐξαλλάσσουσα τὴν κίνησιν ἀπὸ τοῦ*

10. V^3. 11. Vat′ p^2. 12. $V^3 l v v^1$. 13. $V^3 l v v^1$. 14. V^2 Vat^3 p^2. 15. $V^2 B$. 16. $V^2 l B$. 17. $V^2 l$. 18. BCM^3. 19. Vl. 20. $V^2 l$.

9. *μὴ εἶναι τὸν κόσμον* Vat p. 27. *πόλλων* M.

φανεροῦ ἡμισφαιρίου ἐς τὸ ἀφανὲς μεταμείβουσα, ὅταν —τὸ *A* σημεῖον τὸ προηγούμενον, ἔστω δὲ ἡ *AB* περιφέρεια ἐπὶ τὴν ἀνατολὴν δείξασα — τὸ ἑπόμενον τὸ *B* ἀνατείλῃ καὶ πρὸς δυσμὰς γενομένη κρύψασα τὸ ἡγούμενον σημεῖον τὸ *A* ἐπικρύψῃ καὶ τὸ ἑπόμενον τὸ *B*.



Ad prop. I.

21. *Εὐθεῖά ἐστιν* p. 10,20] *διὰ τὸν ὅρον τῶν Ὀπτικῶν* [def. I].

22. *Μετακινηθέντος* p. 10,24] *πῶς μετακινηθείσης τῆς διόπτρας καὶ τοῦ ζῳδιακοῦ ὁραθήσεται ὁ Λέων; καὶ μὴν ἀφ' ἧς περιφερείας ἀνατέλλει ὁ Καρκίνος, ἀπ' ἐκείνης καὶ ὁ Λέων ἀνατέλλει, ὥστε οὐ μετακινηθήσεται ἡ διόπτρα διὰ τὸ ἀπὸ τῆς τοῦ Καρκίνου ἀρχῆς ἀνατολῆς ἀνατέλλειν καὶ τὸν Λέοντα. ἰστέον οὖν, ὅτι ἀνατολὴ ἐνταῦθα οὐ τὴν ὅλην ἀρχὴν τοῦ ζῳδίου ὑπὲρ τὸν ὁρίζοντα λέγει ἀνάβασιν, ἀλλὰ τὴν τῆς ἀρχῆς καὶ μόνην αὐτοῦ, ἐπειδὴ ἡ δύσις οὐ τὴν ὅλην ὑπὸ ὁρίζοντα κατάβασιν τοῦ Λέοντος, ἀλλὰ τοῦ προηγουμένου σημείου τὴν δύσιν. ἐπεὶ τοίνυν, κἂν ἀπὸ τῆς αὐτῆς περιφερείας τοῦ ὁρίζοντος τὰ ζῴδια τὴν ἀνάβασιν ποιῶνται, ὁ Καρκίνος δηλαδὴ καὶ ὁ Λέων ἀπὸ ἄλλου καὶ ἄλλου σημείου τὰς ἀρχὰς τῆς ἀνατολῆς ποιοῦνται. ἔνθα μὲν γὰρ ἡ ἀρχὴ τοῦ Λέοντος πρώτως ἀνατέλλει, ἐκεῖθεν τὸ τέλος τοῦ Καρκίνου φαίνεται· ἔνθα δὲ πάλιν τὸ τοῦ Λέοντος τέλος ἀναφερόμενον δείκνυται, ἐκεῖθεν πάλιν πρώτως ἡ ἀρχὴ ἀνατέλλει τοῦ Καρκίνου ζῳδίου. διὰ τοῦτο μετακινεῖσθαι λέγει ὁ Εὐκλείδης τὴν διόπτραν καὶ ἐξ ἄλλου καὶ ἄλλου*

21. V^2CB. 22. V^2l.

6. κρυ-] in V legi non potest. 17. Post *Λέοντα* comp. obscurum et deinde lac. 2—3 litt. V. 23. *Καρκίνος*·] κο- (sic) V.

σημείου τὰς ἀρχὰς τῶν ζῳδίων τοῦ Καρκίνου καὶ τοῦ Λέοντος ἀνατελλούσας, ἃς ἀρχὰς βούλεται καὶ κατοπτεύειν τὸν διορῶντα. τοῦτο τοίνυν καὶ ἐπὶ τῶν δύσεων τῶν ζῳδίων. κἂν γὰρ ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς τόπου ὁρίζοντος τμήματος ὅτε Λέων καὶ ὁ Καρκίνος δύνουσι ἀπ' ἄλλου καὶ ἄλλου σημείου, τὰς ἀρχὰς καὶ τὰ τέλη αὐτῶν κρύπτουσι τὰ ζῴδια. ἔνθα μὲν γὰρ ἡ ἀρχὴ τοῦ Λέοντος, δύνει ἐκεῖσε τὸ τέλος τοῦ Καρκίνου· ἔνθα δὲ τὸ τέλος τοῦ Λέοντος, ἐκεῖσε ἡ τοῦ Καρκίνου ἀρχή ἐστιν.

23. *Ἀνατέλλων* p. 12,1] *ἀρχὴν ποιούμενος τῆς ἀνατολῆς.*

24. *Δύνων* p. 12,3] *ἀρχὴν ποιούμενος τῆς δύσεως.*

Ad prop. II.

25. Ad fig. p. 14 *Ὁ πόλος τοῦ ὁρίζοντος ἐν τῷδε τῷ διαγράμματι μεταξύ ἐστι τοῦ Θερινοῦ τροπικοῦ καὶ ἀεὶ φανεροῦ κύκλου κατὰ τὸ P σημεῖον.*

26. P. 12,14] *μία κόσμου περιφορά ἐστι τὸ ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ σημεῖον τὴν κίνησιν φθάσαι.*

27. *Τῆς σφαίρας πόλοι λέγονται τὰ μέρη ἐκεῖνα, ἐν οἷς ὁ ἄξων αὐτῆς στρέφεται· κύκλου δὲ πόλος λέγεται σημεῖόν τι ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας.*

28. *Ὅταν μεσουρανῇ τὰ τροπικά, τουτέστιν ὅταν ἐπὶ τοῦ μεσημβρινοῦ γένωνται.*

29. *Ὅπερ ἐστὶν ἀπὸ τῆς ὀρθῆς σφαίρας ἄχρις Συήνης.*

30. *Ἐπὶ τῆς ἡμετέρας ἄρα οἰκήσεως οὐδέποτε ὁ ζῳδιακὸς πρὸς τὸν ὁρίζοντά ἐστιν ὀρθός.*

31. *Μεταξύ* p. 12,18] *ἤτοι τοῦ Θερινοῦ τροπικοῦ ἤτοι τοῦ μεγίστου τῶν ἀεὶ φανερῶν ἤτοι τῶν ἀρκτικῶν.*

23. V^2. 24. V^2. 25. V^a. 26. $Vat^1 Cp^2stx$. 27. Vat^2. 28. $Vat^1 BDM^3p^2$. 29. $Vat^1 Bp^2$. 30. BCM^3qsx. 31. Vat^2p^2.

2. Post *καί* 4 litt. a tineis rosae, item lin. 5 post *Καρκίνος* et lin. 8 post *ἐκεῖσε* V. 7. *αὐτῶν*] supra Vl. 8. *δέ*] addidi. 9. *ἐστιν*] om. l. 16. *P*] litt. est fig. depravatae eod. V (v. p. 15 adn. 1).

32. *Δέδεικται* p. 14,8] *ἐν τῷ ι΄ θεωρήματι τοῦ Αὐτολύκου.*

33. *Ἀπὸ τοῦ ι΄ τοῦ περὶ κινουμένης σφαίρας.*

34. *Διὰ τῶν πόλων τῆς σφαίρας κύκλος μεσημβρινός.*

35. *Ὁ ΚΛ* p. 16,1] ὁ ζῳδιακός.

36. *Ἴση ἄρα ἐστίν* p. 16,5] *διὰ τὸ θ΄ τοῦ β΄ τῶν Σφαιρικῶν.*

37. *Ἀπὸ τοῦ θ΄ τοῦ ἐν τῷ β΄ τῶν Σφαιρικῶν.*

38. *Ἐπὶ τὸ Π παρέσται* p. 16,12] *διὰ τὸ β΄ τοῦ Αὐτολύκου.*

39. *Ἀπὸ τοῦ β΄ τοῦ περὶ κινουμένης σφαίρας.*

40. *Ὁ ΞΘΟΠ ἄρα* p. 16,16] *διὰ τὸ ε΄ τοῦ β΄ τῶν Σφαιρικῶν.*

41. *Ὁ γὰρ μεσημβρινὸς ἀεὶ ὀρθός ἐστι πρὸς τὸν ὁρίζοντα. ἐπεὶ γὰρ ἐν σφαίρᾳ δύο κύκλοι, ὁ ὁρίζων καὶ ὁ ἀρκτικός, ἐφάπτονται ἀλλήλων, διὰ δὲ τῶν πόλων τοῦ ἀρκτικοῦ ἐστιν ὁ μεσημβρινός, ἦξει ἄρα καὶ διὰ τῶν τοῦ ὁρίζοντος πόλων διὰ τὸ ε΄ τοῦ β΄ τῶν Σφαιρικῶν.*

42. *Ἔσται ὀρθός* p. 16,17] *διὰ τοῦ ιε΄ τοῦ α΄ τῶν Σφαιρικῶν.*

43. *Ἀπὸ τοῦ α΄ τῶν Σφαιρικῶν.*

44. *Ὁ ΘΒΠΓ* p. 16,17] ὁ ζῳδιακός.

45. *τὸν ΞΘΟΠ* p. 16,18] *τὸν μεσημβρινόν.*

46. ὁ *ΚΛ κύκλος* p. 18,13] ὁ ζῳδιακός.

47. *ΑΟ κύκλον* p. 18,15] *ἤτοι τὸν μεσημβρινόν.*

48. P. 18,15] *ὥστε ἔχεις καὶ τὴν δευτέραν πρότασιν ἀποδεδειγμένην· διὸ γὰρ ὁ ζῳδιακὸς ἀπεδείχθη ὀρθὸς πρὸς τὸν μεσημβρινὸν καὶ ἀπὸ τῆς θέσεως.*

---

32. V^3. 33. Vat^1. 34. V^a. 35. V^3. 36. V^2. 37. Vat^1. 38. V^2. 39. Vat^2. 40. $V^2Vat.^2$. 41. $V^2 l Vat^1 BCDM^s p^1 q s x$. 42. Vat^2. 43. Vat^1. 44. Vat^2. 45. Vat^2. 46. $V^2 l v' Vat^2$. 47. $V^2 v^1 Vat^2$. 48. $Vat^2 p^2$.

---

13. *τό*] *τοῦ* Vat. 15. *γάρ*] om. q. 18. *ἄρα*] *ἔτι* l. 26. *ἤτοι*] om. v^1Vat.

49. P. 18,16] *νῦν τὰ μετὰ τὴν δευτέραν ἀποδείκνυσι πρότασιν καὶ πρῶτον τοῦτο, ὅτι οὐδέποτε ἔσται ὀρθὸς πρὸς τὸν ὁρίζοντα ὁ ζῳδιακός, ὅταν ὁ πόλος μέσον ἐστὶ τοῦ θερινοῦ τροπικοῦ καὶ τῶν μεγίστων ἀεὶ φανερῶν καὶ καθεξῆς τὰ ἄλλα.*

50. Ad fig. 1 p. 21] *Ὁ βόρειος πόλος τοῦ ὁρίζοντος ἐπὶ τοῦ θερινοῦ ἐστι τοῦ τροπικοῦ κατὰ τὸ M σημεῖον.*

51. *Τεμεῖ αὐτὸν διὰ τῶν πόλων* p. 18,26] *διὰ τοῦ ιγ΄ τοῦ α΄ τῶν Σφαιρικῶν.*

52. *Ὅπερ ἀδύνατον* p. 20,2] *ἐφάπτεται γὰρ τοῦ τροπικοῦ ὁ ζῳδιακός, οὐ μὴν τέμνει αὐτόν.*

53. *Ἀεὶ γὰρ ἐφάπτεται.*

54. Ad fig. 2 p. 21] *ἐν τῷ πόλῳ τοῦ ὁρίζοντος μεταξὺ τῶν τροπικῶν. ἔστι κατὰ τὸ Θ σημεῖον.*

55. *Ἐφάψονται δή* p. 22,7] *διὰ τὸ ζ΄ τοῦ β΄ τῶν Σφαιρικῶν.*

56. *Λίχα τε αὐτὸν τεμεῖ* p. 22,9] *διὰ τοῦ ιε΄ τοῦ α΄ τῶν Σφαιρικῶν.*

57. *Ὅμοία ἐστὶν ἡ ΚΣ* p. 22,13] *διὰ τοῦ ιγ΄ τοῦ β΄ τῶν Σφαιρικῶν.*

58. *Πάλιν, ἐπεὶ* p. 22,19] *ἐπεὶ γὰρ ὁμοία ἐδείχθη ἡ ΚΜ τῇ ΛΝ, ἐξ ὧν ἡ ΚΣ τῇ ΛΤ ὁμοία, λοιπὴ ἄρα ἡ ΣΜ λοιπῇ τῇ ΤΝ ὁμοία ἐστίν. διὰ τὰ αὐτὰ καὶ ἡ ΜΠ τῇ ΝΡ ἐστιν ὁμοία, ἐὰν τὸν ζῳδιακὸν ὁμοίως γράψωμεν.*

Ad prop. III.

59. *Ὁ ΚΘΓ ἄρα* p. 24,13] *διὰ τὸ α΄ τοῦ Αὐτολύκου.*

---

49. Vat^{2}p^2. 50. V^a. 51. Vat^2. 52. Vat^2. 53. Vat^1. 54. V^a. 55. V^{2}Vat^2. 56. Vat^2. 57. V^{2}Vat^1. 58. V^{2}l Vat^{1}BCDλ M^{3}p^{2}sx. 59. V^2.

---

15. *τό*] *τοῦ* Vat. *ζ΄*] *ς΄* Vat. 21. *ὁμοία*] om. sx. 22. *λοιπῇ*] Vl, om. cett. 23. *ἐστίν*] Vl, om. cett.; item lin. 25 *ἐστιν*. *NP*] *MP*λ.

Ad prop. IV.

60. *Οἷον ὡς ἐπὶ τοῦ ξῳδιακοῦ δύνατον καὶ ἐπὶ ἄλλον.*

61. *Ὅμοια ἄρα* p. 26,14] *διὰ τὸ ιγ΄ τοῦ β΄ τῶν Σφαιρικῶν.*

62. *Λοιπὴ ἄρα* p. 26,15] *ἐπειδὴ πᾶς κύκλος παντὶ κύκλῳ ὅμοιός ἐστιν.*

63. *Λέγω ὅτι* p. 26,23] *ἢ καὶ οὕτως· λέγω, ὅτι τὸ H πρότερον δύνεται τοῦ Z. ἐπεὶ γὰρ ἡ ΚΘ μείζων ἐστὶν ἢ ὁμοία τῆς ΜΛ, ὧν ἡ ΚΖ ὁμοία ἐστὶ τῇ ΜΝ, λοιπὴ ἄρα ἡ ΘΖ μείζων ἐστὶν ἢ ὁμοία τῆς ΝΛ. πρότερον ἄρα δύνεται τὸ Ν τοῦ Z· ἀλλὰ καὶ τὸ H τοῦ Ν πολλῷ ἄρα τὸ H πρότερον δύσεται τοῦ Z.*

64. *Ὅμοια ἄρα* p. 26,27] *διὰ τὸ ιγ΄ τοῦ β΄ τῶν Σφαιρικῶν.*

Ad prop. VI.

65. *Κατὰ συζυγίαν* p. 30,27] *τουτέστιν, ὅτε ἐναντίον τὸ ἓν δύνει, τὸ ἄλλο ἀνατέλλει, καὶ ὅτε δύνει τόδε, ἀνατέλλει τὸ ἕτερον.*

66. *Κατὰ συζυγίαν ἀνατέλλειν καὶ δύνειν ἄστρα λέγεται, ὅσα κατὰ διάμετρον ὄντα ἐν ἴσῳ χρόνῳ ἴσας περιφερείας διέρχεται καὶ τὸ μὲν ἀπὸ ἀνατολῆς ἐπὶ δύσιν πορεύεται, τὸ δὲ ἀπὸ δύσεως ἐπ᾽ ἀνατολήν.*

67. *Ἴση ἄρα ἡ EB* p. 32,9] *ἐὰν γὰρ ἐπιζεύξωμεν τὰς AB, EZ, δύο δυσὶν ἴσαι ἔσονται, ὡς ἐκ τοῦ κέντρου καὶ αἱ γωνίαι ἴσαι αἱ κατὰ κορυφήν· βάσις ἄρα ἡ ἀπὸ τοῦ E ἐπὶ τὸ B βάσει τῇ ἀπὸ τοῦ A ἐπὶ τὸ Z ἐστιν*

---


60. Vat^1 λp^{2}x. 61. V^{2}Vat^2. 62. Vat^2 p^2. 63. C (m. rec.) A sx. 64. V^2. 65. V^{2}l. 66. Vat^{2}p^{2}t. 67. V^{2}l Vat^{1}M^{3}p^{1}q.

---

2. *ἄλλου*] *τῶν ἄλλων* λ. 3. *διὰ τό*] *ἀπὸ τοῦ* Vat. 16. *ἐναντίον* — 17. *ἀνατέλλει*] *ἀνατέλλει τὸ ἕν, δύνει τὸ ἄλλο* l. 24. *ὡς*] Vl, *καί* Vat p, om. cett. 25. *αἱ* (alt.)] om. q. Post *κορυφήν* add. *γάρ* supra m. rec. q.

ἴση, ὥστε καὶ περιφέρεια ἡ EB τῇ AZ περιφερείᾳ ἐστὶν ἴση.

68. *Ἀλλ' ἡ EB* p. 32,10] *ἐπεὶ γὰρ δύο ἐπίπεδα παράλληλα τὰ EZ, BΓ ὑπό τινος ἐπιπέδου τέμνεται τοῦ ΑΘBΓ αἱ κοιναὶ αὐτῶν τομαὶ παράλληλοί εἰσιν· παράλληλος ἄρα ἐστὶν ἡ ἀπὸ τοῦ E ἐπὶ τὸ Z τῇ ἀπὸ τοῦ B ἐπὶ τὸ Γ. ἐὰν ἄρα ἐπιζεύξωμεν ὡς τὴν EΓ καὶ τὴν BZ, αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ EΓB, ΓEZ ἴσαι ἀλλήλαις ἔσονται, ὥστε καὶ περιφέρεια ἡ EB τῇ ΓZ ἐστιν ἴση. ἐν γὰρ τοῖς ἴσοις κύκλοις αἱ γωνίαι τὸν αὐτὸν λόγον ἔχουσι τῶν περιφερειῶν, ἐφ' ὧν βεβήκασιν, ἐάν τε πρὸς τοῖς κύκλοις, ἐάν τε πρὸς ταῖς περιφερείαις ὦσι βεβηκυῖαι.*



69. *Ἴσος ἄρα* p. 32,12] *διὰ τὸ ιζ' τοῦ β' τῶν Σφαιρικῶν.*

70. *Ἴση ἄρα* p. 32,14] *διὰ τὸ ιθ' τοῦ β' τῶν Σφαιρικῶν.*

71. *Ἐν ἴσῳ ἄρα* p. 32,15] *διὰ τὸ β' τοῦ Αὐτολύκου.*

72. *Πάλιν, ἐπεί* p. 32,22] *ὑπὸ γὰρ μεγίστου τοῦ ὁρίζοντος ἑκάτερος αὐτῶν μέγιστος ὢν δίχα τέμνεται.*

Ad prop. VII.

73. *Μεθιστάμενος* p. 34,14] *κινούμενος.*


68. V²lVat¹CDAM³p¹qsx. Fig. praebent V (arc. BZ om.) Vat p. 69. V²l. 70. V². 71. V². 72. Vat¹p². 73. V³.


1. *περιφέρεια*] om. Mq, comp. cett., item *περιφερείᾳ*. 2. *ἴση ἐστί* (comp.) q. 3. *παράλληλα*] om. CDqsx, *π. ἐστι τὰ EZ, BΓ καὶ τέμνεται* A. 5. *παράλληλος ἄρα ἐστίν*] om. qsx. 11. *ὑπό*] VlA, om. cett. 12. *ἔσονται*] VlA, *εἰσίν* cett. *καί*] *καὶ ἡ* codd. rec. b. 13. *περιφέρεια* om. s (lac.). 14. *ἴση ἐστίν* A pqs. *ἐν* — 18. *βεβηκυῖαι*] Vl, om. cett. 24. *μέγιστος ὤν*] *μεγίστων* p.

74. *Καὶ ἄλλοτε* p. 34,18] *ἀντὶ τοῦ ποτὲ ἑαυτοῦ ὀρθότερος μᾶλλον, ποτὲ δὲ κεκλιμένος.*

75. *Ὅτι μέν* p. 36,2] *διὰ τὸ ια΄ τοῦ Αὐτολύκου.*

76. *Λῆμμα. ἐν γὰρ σφαίρᾳ μέγιστος κύκλος ὁ ΒΕΔΜ τοῦ ΑΔ ἁπτέσθω κατὰ τὸ Δ· καθ' οὗ δὲ φέρεται παραλλήλου κύκλου τὸ Ε, ἔστω ὁ ΘΕΜΗ· λέγω, ὅτι ἡ ΕΔ ἴση ἐστὶ τῇ ΔΜ.*





εἰλήφθω γὰρ ὁ πόλος τοῦ ΘΕΜΗ τὸ Ρ καὶ διὰ τὸ Ρ καὶ τῆς ἁφῆς μέγιστος κύκλος γεγράφθω ὁ ΡΔΓ· ὁ ΡΔΓ ἄρα ἥξει διὰ τῶν τοῦ ΒΕΔΜ κύκλου πόλων διὰ τὸ ε΄ τοῦ β΄ τῶν Σφαιρικῶν. καὶ ἐπεὶ ἐν σφαίρᾳ δύο κύκλοι οἱ ΒΕΔΜ, ΘΕΜΗ τέμνουσιν ἀλλήλους, διὰ δὲ τῶν πόλων αὐτῶν μέγιστος κύκλος γέγραπται ὁ ΡΔΓ, ὁ ΡΔΓ ἄρα δίχα τεμεῖ τὰ ἀπειλημμένα τμήματα τῶν κύκλων [Theodos. II, 9], *ὥστε ἴση ἐστὶν ἡ ΕΔ τῇ ΔΜ.*

77. *Καὶ ἐπεὶ ἴση ἐστίν* p. 36,14] *διὰ τὸ λῆμμα.*

---

1) Fig. codd. Vlp (*M* om. p). 2) Fig. cod. Vat.

---

74. V²l Vat¹ M¹ p²qrt. 75. V². 76. V²l Vat′ M³ p¹. 77. V².

---

2. *δέ*] Vl, om. cett. 4. *ΒΕΔΜ*] *ΔΕΒ* Vat p, *ΒΕΔ* M. 7. *ἐστί*] in hoc. voc. des. M. 9. *ΡΔΓ*] *ΡΔΒ* VatMp, item lin. 10, 13, 14. 10. *τῶν*] ins. Vat. *διά* — 11. *Σφαιρικῶν*] om. VatMp. 14. *τεμεῖ*] *τέμνει* VatMp.

78. Ἡμικύκλιον δέ p. 38,2] διὰ τὸ μεγίστους κύκλους τὸν ζῳδιακὸν καὶ τὸν ὁρίζοντα δίχα τέμνειν ἀλλήλους.

79. Καὶ φανερόν p. 40,6] διὰ τὸ κβ′ τοῦ β′ τῶν Σφαιρικῶν.

Ad prop. VIII.

80. Λῆμμα. Αἱ μὲν ΗΚ, ΚΝ, ΝΓ ἴσαι εἰσὶ διὰ τὴν ὑπόθεσιν. ὅτι δὲ τεταρτημορίου ἐστὶν ἑκατέρα τῶν ΓΗ, ΗΒ, ἐκεῖθεν δῆλον. ἐπειδὴ ὁ ζῳδιακὸς καὶ ὁ τροπικὸς ἅπτονται ἀλλήλων, διὰ δὲ τοῦ ἑνὸς πόλων καὶ τῆς ἀφῆς μέγιστος κύκλος γέγραπται ὁ μεσημβρινός, ἥξει ἄρα καὶ διὰ τῶν τοῦ ζῳδιακοῦ πόλων. ἐπεὶ οὖν ἐν σφαίρᾳ δύο κύκλοι, ὁ ζῳδιακὸς καὶ ὁ ἰσημερινός, τέμνουσιν ἀλλήλους, διὰ δὲ τῶν πόλων αὐτῶν μέγιστος κύκλος γέγραπται, ὁ μεσημβρινός, δίχα τέμνει τὰ ἀπειλημμένα τμήματα.

81. Αἱ ΖΛ, ΛΞ, ΞΓ p. 42,5] διὰ τὸ ζ′ τοῦ γ′ τῶν Σφαιρικῶν.

82. Ἴσος ἄρα p. 42,19] διὰ τὸ ιζ′ τοῦ β′ τῶν Σφαιρικῶν.

83. Ἴση ἄρα p. 42,23] διὰ τὸ ιη′ τοῦ β′ τῶν Σφαιρικῶν.

Ad prop. IX.

84. Καλῶς οἱ προδιωρισμένοι.

85. Ὅταν p. 44,13] τουτέστιν μὴ ὀρθὴν ἐχέτω κίνησιν ἡ σφαῖρα.

---

78. V². 79. V². 80. Vl et inde ab lin. 7 ὅτι Vat¹ CDM² λp¹qx, inde a lin. 10 ἥξει s. 81. V². 82. V². 83. V². 84. V². 85. V².

---

7. δέ] γάρ codd. rec. b. ἑκατέρα ἐστίν Vat λp. 8. καὶ ὁ τροπικός] om. λx. 9. ἅπτονται ἀλλήλων] om. C (lac. 10 litt.) λx. τοῦ ἑνὸς πόλων] τῶν πάντων πόλων Mqx. πόλων] πόλου Vat λp. 10. Post μεσημβρινός spat. vac. 9 lin. λ. 14. τά] om. CDqx.

86. *Λαθός μοι ἐγένετο εἰς τὸν παρόντα τόπον θάτερον, ὅτι τὰ δύο σχήματα, ἅπερ εἶχε τὸ ἀντιβολαῖον, εἰσὶν ἓν σχῆμα ἤτοι τοῦ ΘΘ καὶ ιΘ.*

Ad prop. XI.

87. *Καὶ ἐπεί* p. 58,13] *διὰ τὸ ϛ′.*

88. *Ἐν ᾧ ἄρα* p. 60,24 rec. **b**] *διὰ τὸ καθ' ἓν σημεῖον τὸ Ε συναπτόμενον τῶν ΕΘ, ΕΓ περιφερειῶν φερομένης τῆς ΕΘ περιφερείας πάντως συμφέρεσθαι καὶ τὴν ΓΕ περιφέρειαν συνημμένην τῇ ΕΘ καὶ τὰ Θ, Γ σημεῖα ἐπὶ τοῦ ὁρίζοντος εἶναι.*

Ad prop. XII.

89. *Σαφεστέρα ἡ β′ ἔκδοσις, ἥτις κεῖται μετὰ γ φύλλα.*

90. *Ἔσφαλται.*[1])

91. *Ἔσφαλται ἡ καταγραφή. ὅπου γὰρ τὸ Α κεῖται, ὀφείλει κεῖσθαι τὸ Β, καὶ ὅπου τὸ Β, τὸ Α· ἔνθα τε κεῖται τὸ Γ, ὀφείλει κεῖσθαι τὸ Δ, καὶ ἔνθα τὸ Δ, τὸ Γ, καὶ οὕτως ὁ τῶν ζῳδίων κύκλος θέσιν ἔχειν τὴν ΒΔ. ὅτε γὰρ ἀνατεταλμένον ἐστὶ τὸ μετὰ τὸν Καρκίνον ἡμικύκλιον, ὀφείλει κεῖσθαι ὡς τὰ δυτικῶν ἐν τοῖς ἀνατολικοῖς, καὶ οὕτως ἀσφαλτὸν τὴν καταγραφὴν γενέσθαι.*

92. *Τῶν ΒΞ, ΔΞ* p. 62,15] *ὅτι ἡ ΒΞ ἴση τῇ ΞΔ, δείκνυται ἐν τῷ λήμματι τῷ ἐν τῷ η′ θεωρήματι* [v. schol. nr. 80].

1) Inde ab hoc *ἔσφαλται* codd. rec. **a** scholia non habent: in scholiis, quae sequuntur, numeri paginarum et linearum ad recensionem **b** pertinent.

86. r. 87. V^2. 88. V^2l Vat^1 p^2; v. fig. rec. **b**. 89. Vat^1 CDsx. 90. V^2. 91. D (bipartitum: 1. *ἔσφαλται* — 9. *τά* 2. *δυτικῶν* — 20. *γενέσθαι*) E (des. in lin. 18 *ἡμικύκλιον*) M^2 (post lin. 19 *τά* ruptura bombyc. et figura interruptum) q. 92. Dsx.

12. *ἔκδοσις*] *-οσις* om. in fine lin. Vat. *κεῖται — φύλλα*] *κατὰ τὸ μγ′ φύλλον* x. 14. *καταγραφή — κεῖται*] *τὸ χωρίον, ὅπου ἡ κατὰ τὸ Α κεῖται γραφή* q; — *γραφή, ὅπου γάρ* supra M. 17. *οὕτω* DEM. *ὁ*] om., lacuna relicta EM., *τόν* D. 18. *τό* om. lac. rel. DE. 20. Post *γενέσθαι* add. *ἤ* M; v. schol. nr. 93. 22. *η′ θεωρήματι*] om. **s**.

93. *Γραφέντος διὰ τοῦ Κ μεγίστου κύκλου ἐφαπτομένου, οὗ καὶ ὁ ὁρίζων ἐφάπτεται κατὰ τὸ Ε, ὥστε ἀσύμπτωτον εἶναι τὸ ἀπὸ τοῦ ς ἡμικύκλιον ὡς ἐπὶ τὰ Κ μέρη τῷ ἀπὸ τοῦ Ε, καθ' ὃ ἐφάπτεται ὁ ὁρίζων τοῦ τροπικοῦ ἡμικυκλίου, ὡς ἐπὶ τὰ Ε, Π μέρη.*

94. P. 68,11] *ὥστε ἔχεις ἀποδεδειγμένον, ὅτι ἐν πλείονι χρόνῳ ἡ πρὸς τῇ συναφῇ τοῦ τροπικοῦ ἤτοι ἡ ΒΚ, ἐν ἐλάσσονι δὲ ἐξῆς τούτου ἤτοι ἡ ΚΛ.*

95. *Ἡ ΡΛ* p. 68,4] *ὅτι δὲ ἡ ΡΛ καὶ τῆς Ξα μείζων ἐστὶν ἡ ὁμοία, δῆλον. ἐπεὶ γὰρ ἐφεξῆς μείζων ἐστὶν ἡ Ηα τῆς αβ, ἡ δὲ αβ τῆς βΞ, μείζων ἔσται καὶ ἡ Ηα τῆς βΞ· κοινῆς προσκειμένης τῆς αβ μείζων ἐστὶν ἡ Ηβ τῆς αΞ, ὥστε καὶ μείζων ἡ ὁμοία ἡ Ηβ τῆς αΞ. ὁμοία δὲ ἡ Ηβ τῇ ΡΛ· μεταξὺ γὰρ τῶν ἀσυμπτώτων ἡμικυκλίων· μείζων ἄρα ἡ ὁμοία ἡ ΡΛ τῆς αΞ. ἐλάττων δὲ ἡ ὁμοία ἐδείχθη ἡ ΡΛ τῆς ΗΞ, ὥστε ἡ τῇ ΡΛ ὁμοία τιθεμένη ἀπὸ τοῦ Ξ μεταξὺ τῶν αΗ σημείων πεσεῖται ὡς ἡ Ξε.*

96. *Ἡ ΚΛ περιφέρεια* p. 70,10] *αὕτη γάρ ἐστι ἡ Ογ μεταβᾶσα.*

97. P. 70,13] *ἔχεις καὶ ταύτην τὴν πρότασιν ἀποδεδειγμένην τὴν ὅτι ἐν ἐλαχίστοις χρόνοις πρὸς τῷ ἰσημερινῷ· πρὸς τῷ ἰσημερινῷ γάρ ἐστι ἡ ΛΞ.*

98. *Καὶ ἐπεί* p. 72,20] *δείξας τὰ πρὸς τῇ συναφῇ τοῦ ἑνὸς τῶν τροπικῶν, ὅτι ἐν πλείονι, δείκνυσι καὶ τὰ πρὸς τῇ ἑτέρᾳ συναφῇ τοῦ ἑτέρου τροπικοῦ, ὅτι ἐν πλείονι.*

99. *Λέγω, ὅτι* p. 72,25] *εἰπὼν ἐν τῇ τελευταίᾳ προτάσει, ὅτι αἱ ἴσον ἀπέχουσαι τοῦ ἰσημερινοῦ κύκλου ἐν ἴσοις χρόνοις καὶ δύνουσι καὶ ἀνατέλλουσιν, καὶ δείξας, ὅτι ἐν ἴσοις χρόνοις δύνουσιν, νῦν δείκνυσι ὡς ἐπὶ*

93. GDx et M^2q coniunctum cum nr. 91. 94. Vat^2p^2.
95. $Vat^1GDM^2p^1sx$. 96. Vat^1p^2. 97. Vat^2p^2. 98. Vat^2p^2.
99. Vat^2p^2.


17. τοῦ] τῆς s.

ἄλλης καταγραφῆς, ὡς ὅτι καὶ ἐν ἴσοις χρόνοις ἀνατέλλουσιν.

100. *Ἀλλὰ ἡ ΠΩ* p. 76,17] *ὡς ἴση τῶν κύκλων ἴσων ὄντων.*

101. P. 76,25] *ἔχεις καὶ τὴν ἐσχάτην πρότασιν ἀποδεδειγμένην, ὅτι Ἐν ἴσῳ δὲ αἱ ἴσον ἀπέχουσαι τοῦ ἰσημερινοῦ κύκλου ἴσον γὰρ ἀπέχουσι τοῦ ἰσημερινοῦ ἡ ΑΞ καὶ ἡ ΞΜ.*

102. *Ἐκ περισσοῦ. τῆς αὐτῆς καταγραφῆς μενούσης λέγω, ὅτι ἡ ΑΒ τῇ ΒΓ ἐν ἴσῳ χρόνῳ δύνει. ἐπεὶ γὰρ ἡ ΓΔ τῆς ΒΕ μείζων ἐστὶν ἢ ὁμοία, κείσθω τῇ ΒΕ ὁμοία ἡ ΓΖ, καὶ ὁ ζῳδίων κύκλος θέσιν ἐχέτω τὴν ΖΕΗ. καὶ*




ἐπεὶ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΒΓ, ἴσος ἐστὶν ὁ ΑΘ κύκλος τῷ ΓΔ κύκλῳ· ἴση ἄρα καὶ ἡ ΑΕ τῇ ΕΔ. ἔστι δὲ καὶ ἡ ΖΕ τῇ ΕΗ ἴση, ἐπεὶ καὶ ἡ ΓΒ τῇ ΒΑ ἴση· ἐστιν ἄρα καὶ ἡ ἀπὸ τοῦ Η ἐπὶ τὸ Α τῇ ἀπὸ τοῦ Δ ἐπὶ τὸ Ζ· ἴση ἄρα καὶ ἡ ΑΗ περιφέρεια τῇ ΔΖ περιφερείᾳ· ἀλλ᾽ ἡ ΑΗ τῇ ΕΒ ἐστιν ὁμοία· καὶ ἡ ΕΒ ἄρα τῇ ΔΖ ἐστιν ὁμοία. ἐν ᾧ ἄρα χρόνῳ τὸ Β ἀρξάμενον ἀπὸ τοῦ Β τὴν ΒΕ διελθὸν ἐπὶ τὸ Ε παραγίγνεται, ἐν τούτῳ καὶ τὸ Ζ ἀρξάμενον ἀπὸ τοῦ Ζ τὴν ΖΔ διελθὸν ἐπὶ τὸ Δ παρ-

100. C (mg. c. signo om.) x; in textu Mq. 101. Vat^2 p^2. 102. Hoc scholium pos prop. XII in textu hab. codd. rec. b.

16. Post Ζ add. *ἴση* m. 2 Vat.

ἐσται· ἀλλ' ὅταν μὲν τὸ B ἐπὶ τὸ E παραγένηται, δύνει ἡ BA περιφέρεια· ὅταν δὲ τὸ Z ἐπὶ τὸ Δ παραγένηται, δύνει ἡ ZE, τουτέστιν ἡ ΓB· ἡ AB ἄρα τῇ BΓ ἐν ἴσῳ χρόνῳ δύνει.

103. Ad schol. nr. 102 lin. 12] *ἡ γὰρ BΓ ἡ αὐτή ἐστι*



τῇ EZ· ὁμοίως καὶ ἡ AB τῇ HE· ὁ γὰρ ξῳδιακὸς κύκλος ὁ ABΓ μεταξὺ τῶν H, Z καί ἐστιν ὁ αὐτός.

Ad prop. XIV.

104. *Σαφεστέρα ἡ β' ἔκδοσίς ἐστιν, ἥτις κεῖται μετὰ γ ἥμισυ φύλλα.*

105. *Σαφεστέρα ἔκδοσις εὑρίσκεται μετὰ τὰ δ ἥμισυ φύλλα.*

106.[1]) *Ἐξαλλαγή ἐστι φανεροῦ ἡμισφαιρίου, ὅταν τοῦ προηγουμένου σημείου τῆς περιφερείας ἐπὶ τῆς ἀνατολῆς ὄντος τὸ ἑπόμενον ἀνατεῖλαν καὶ διελθὸν ὅλον τὸ φα-*

1) Hoc scholium rursus ad dem. alt. prop. XIV praebent Vat^1 p^2; p. 148 lin. 3 *τήν* (alt.) non om.


103. Vat^2 p^2. 104. Vat^1 DM^{2}x. 105. C. 106. Vat^2 CDλ Ap^{2}stx; v. p. 10 lin. 3 sqq..

7. *τῶν H, Z καί*] *τεθεὶς εἰς τὸν μείζονα* p.

νερὸν ἡμισφαίριον ἐπὶ τῆς δύσεως γένηται, τουτέστιν ὥστε ἀπὸ τοῦ ἀφανοῦς ἡμισφαιρίου εἰς τὸ ἀφανὲς ἐλθεῖν τὴν περιφέρειαν τὴν τῶν δύο σημείων, τοῦ ἡγουμένου καὶ τοῦ ἑπομένου.

5 107. *Τοῦ τῶν ζῳδίων κύκλου τῶν ἴσων τε περιφερειῶν καὶ ἴσον ἀπεχουσῶν ἀπὸ τῆς τροπικῆς συναφῆς ὁποτερασοῦν, ἐν ᾧ ἡ ἑτέρα ἀνατέλλει, ἡ ἑτέρα δύνει καὶ τὸ ἀνάπαλιν.*

ἔστω ἐν κόσμῳ ὁρίζων ὁ ΑΒΓ, θερινὸς δὲ τροπικὸς 10 *ὁ ΑΒ, χειμερινὸς δὲ τροπικὸς ὁ ΓΔ, ὁ δὲ τῶν ζῳδίων κύκλος ἔστω ὁ ΑΠΡΓΗΞ, καὶ ἔστω ἴση ἡ ΠΡ τῇ ΞΗ· λέγω· ἐν ᾧ ἡ ΠΡ δύνει, ἡ ΞΗ ἀνατέλλει.*



εἰλήφθω γὰρ τῇ περιφερείᾳ ΠΡ ἴση τε καὶ ἀπεναντίον περιφέρεια ἡ ΣΤ καὶ μεταξὺ τῶν ΞΗ, ΣΤ ὁ ἰση-

107. Vat¹MCDλ Ap¹st (v. p. 84 lin. 9sqq.).

3. *τήν* (alt.) om. Vat. 5. *τε*] om. AMp. 6. *ἀπό . . .*] *ἀφ' ὁποτερασοῦν τρ.* D. 7. Post *ᾧ* add. *χρόνῳ* DM. *ἀνατέλλει, ἡ ἑτέρα*] om. λ. 9. *ΑΒΓ*] *ΑΒΓΔ* D, *ΑΒλ*. 13. *περιφερείᾳ*] om. λAM, item lin. 14 *περιφέρεια*. 14. *καί*] om. t.

μερινὸς ἔστω ὁ ΥΧΦ. καὶ ἐπεὶ ἐν ᾧ χρόνῳ ἡ ΠΡ δύνει, ἡ ΣΤ ἀνατέλλει· ἀλλ' ἐν ᾧ ἡ ΣΤ ἀνατέλλει, ἐν τούτῳ καὶ ἡ ΗΞ· ἴσον γὰρ ἀπέχουσι τοῦ ἰσημερινοῦ· καὶ ἐν ᾧ ἄρα ἡ ΠΡ δύνει, ἡ ΗΞ ἀνατέλλει· ἐκεῖνό γε μὴν φανερόν, ὅτι ἡ ΑΞΗ ἴση ἐστὶ τῇ ΑΠΡ.

108. Ad schol. nr. 107 p. 149,3] *πῶς δὲ ἴσον ἀπέχουσι τοῦ ἰσημερινοῦ ἡ ΣΤ καὶ ἡ ΗΞ, οὕτω δείκνυται· ἐπεὶ τὸ μὲν Α τῷ Γ κατὰ διάμετρον, τὸ δὲ Π τῷ Τ, ἴση ἄρα ἡ ΑΠ περιφέρεια τῇ ΖΤ, τῶν διαμέτρων ἐπι ξευχθεισῶν δηλονότι καὶ οὕτω τῶν γωνιῶν τῶν ἴσων ἐπὶ ἴσων περιφερειῶν βαινουσῶν. ἀλλὰ ἡ ΑΠ τῇ ΑΞ ἴση ἐστὶ διὰ τὸ σχόλιον τοῦ ξ[8] (nr. 76). καὶ ἡ ΑΞ ἄρα ἴση τῇ ΤΓ. ἐπεὶ οὖν ὅλη ἡ ΑΧ ὅλῃ τῇ ΧΓ ἐστιν ἴση, ἐξ ὧν ἡ ΑΞ τῇ ΤΓ ἐστιν ἴση, λοιπὴ ἄρα ἡ ΞΧ λοιπῇ τῇ ΧΤ ἐστιν ἴση. διὰ τὸ τὴν μὲν ΠΡ ἴσην εἶναι τῇ ΞΗ ἀπὸ τοῦ σχολίου τοῦ ἐν τῷ ξ', τὴν δὲ ΠΡ κεῖσθαι ἴσην τῇ ΣΤ, ἡ ΞΗ ἴση ἐστὶν τῇ ΣΤ· λοιπὴ ἄρα ἡ ΗΧ τῇ ΧΣ ἴση ἐστίν· ἴσον ἄρα ἀπέχουσι τοῦ ἰσημερινοῦ ἡ ΣΤ καὶ ἡ ΗΞ.*

109. *Πάλιν ἐπεί* p. 88,13] *διέλθε ὁ ἀναγιγνώσκων τὴν ἀπόδειξιν τοῦ κβ' τοῦ β' τῶν Σφαιρικῶν καὶ ἐκεῖσε μαθήσει, ὡς πάντων τῶν μεγίστων κύκλων τῶν τοῦ αὐτοῦ κύκλου ἐφαπτομένων κύκλων οἱ πόλοι ἐφ' ἑνὸς κύκλου εἰσίν.*

110. P. 90,14] *ἔχεις, ὅτι αἱ ἴσαι περιφέρειαι οὐκ ἐν ἴσοις χρόνοις ἐξαλλάσσουσιν.*

111. P. 90,15] *καὶ ἐπεὶ τὸ Η τῷ Μ τὸ αὐτό ἐστιν ὡς ἐν μίᾳ περιφερείᾳ, ἀπώτερόν ἐστι τὸ Δ τοῦ Ξ.*

112. *Ἴση ἄρα ἐστίν* p. 90,17] *διὰ τὸ ιγ' τοῦ β' τῶν Σφαιρικῶν.*

113. *Δύνει* p. 94,3] *διὰ τὸ λῆμμα τὸ μετὰ πέντε φύλλα*

---

108. Vat[1]p[1]. 109. DλM[3]x. 110. Vat[2]p[2]. 111. Vat[1]DM[2]p[2]. 112. M[1]. 113. Dsx (*διὰ τὸ λῆμμα* etiam M[1]).

---

4. Post *ἄρα* add. *χρόνῳ* Dλ. 5. *ἡ . . .*] *ὅλη ἡ — ὅλῃ τῇ — ἴση ἐστίν* t. 9. *περιφέρεια*] *ἐστι* p. 14. *τῇ* (alt.)] *τῇ τῇ* p. 18. *ΗΞ*] H om. Vat. 29. *πέντε*] om. sx.

ἔξωθεν γεγραμμένον, ἐν ᾧ καὶ τὸ τοιοῦτόν ἐστι σημεῖον C; v. schol. nr. 107.

Ad prop. XV.

114. *Ἐξαλλαγή ἐστιν ἀφανοῦς ἡμισφαιρίου, ὅταν τοῦ προηγουμένου σημείου τῆς περιφερείας δύναντος καὶ διελθόντος ὅλον τὸ ἀφανὲς ἡμισφαίριον τὸ ἑπόμενον ἐπὶ τῆς ἀνατολῆς γένηται, τουτέστιν ὥστε ἀπὸ τοῦ ἐμφανοῦς ἡμισφαιρίου εἰς τὸ ἐμφανὲς πάλιν ἐλθεῖν τὴν περιφέρειαν τὴν ὑπὸ τοῦ προηγουμένου καὶ τοῦ ἑπομένου σημείου γενομένην.*

Ad prop. XVI.

115. *Ἀλλ' ἐν ᾧ μὲν χρόνῳ* p. 106,18] *διὰ τὸ ιε΄· ἴσον γὰρ ἀπέχουσιν ὁποτέρασοῦν τῶν συναφῶν ἀπὸ τοῦ σχολίου τοῦ ξ*[8] (nr. 80).

116. *Ἀλλ' ἐν ᾧ μὲν χρόνῳ* p. 108,6] *διὰ τὸ ιε΄, οὗ ἡ ἀρχὴ 'ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ μετὰ τὸν Αἰγόκερων ἡμικυκλίου'.*

Ad prop. XVII.

117. *Διὰ τὰ αὐτά* p. 110,7] *ἐπεὶ αἱ ΜΛ, ΘΚ ἴσον ἀπέχουσι τοῦ Θερινοῦ τροπικοῦ, ἔχομεν δὲ ἀπὸ τοῦ ιε΄ Θεωρήματος, ὅτι ἴσον ἀπέχουσαι τοῦ Θερινοῦ τροπικοῦ ἐν ἴσοις χρόνοις ἐξαλλάσσουσι τὸ φανερὸν ἡμισφαίριον, ἔτι δὲ καὶ ἀπὸ τοῦ ιζ΄, ὅτι αἱ ἴσον ἀπέχουσαι ὁποτερασοῦν τῶν συναφῶν ἐν ἴσοις χρόνοις ἐξαλλάσσουσι τὸ ἀφανὲς ἡμισφαίριον, πρὸς δὲ καὶ ἀπὸ τοῦ ἴσου ὡς αἱ ἴσαι καὶ ἀπεναντίον περιφέρειαι ἐν ᾧ χρόνῳ ἡ ἑτέρα ἐξαλλάσσει τὸ φανερὸν*

114. Vat[1]λDAM[3]p[1]qstx; in λ textui post schol. nr. 125 interpositum (mg. *σχόλιον*); v. p. 10,6 sqq. 115. Vat[1]λp[2]s. 116. λs. 117. CM[3]s; in s bipartitum: 1. *ἐπεί* — lin. 21 *Θεωρήματος*. 2. (post spatium vacuum) lin. 21 *ὅτι* — p. 151 lin. 3 *ἀνάπαλιν*.

5. *περιφερείας*] *γωνίας* λ. 6. *τὸ ἑπόμενον*] om. D stx. 7. *ἐμφανοῦς*] *ἀφανοῦς* tx. 10. *σημείου γενομένην*] om. D. *γενομένην*] *-ων* tx, *περιεχομένην* A. 20. *ιε΄*] *ιδ΄* hui. edit. 23. *ιζ΄*] *ις΄* hui. edit. *ιζ΄ — ὁποτερασοῦν*] in M. evan. 24. Post *χρόνοις* add. *δέ* s. 25. *ἴσου*] *ις΄* s. *αἱ*] om. s.

ἡμισφαίριον, ἐν τῷ αὐτῷ ἡ ἑτέρα τὸ ἀφανὲς καὶ ἀνάπαλιν. διὰ δὴ ταῦτα ἐν ᾧ χρόνῳ ἡ ΖΗ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον, ἐν τούτῳ ἡ ΚΘ τὸ ἀφανὲς καὶ ἀνάπαλιν.

Ad prop. XVIII.

118. *Σχόλιον. εἰδέναι χρή, ὅτι, ἂν βουλώμεθα δεῖξαι, ἐν πλείονι χρόνῳ ἐξαλλάσσειν τὸ φανερὸν ἡμισφαίριον, δεῖ φυλάττειν ἀκίνητον, τουτέστι μὴ αὐτὴν τὴν κατὰ διάμετρον λαμβάνειν, ἀλλὰ 'τῆς τυχούσης' λέγειν τὴν κατὰ διάμετρον· αὐτὴ γὰρ ἡ κατὰ διάμετρον λαμβανομένη ἐγγυτέρα εὑρίσκεται τοῦ χειμερινοῦ, ἡ δὲ μείνασα ἀκίνητος ἐγγυτέρα τοῦ θερινοῦ.*

Ad prop. XII demonstr. alt.

119. P. 120,14] *ὥστε ἔχεις τὴν πρώτην πρότασιν δεδειγμένην.*

120. *Καὶ ἐπεί* p. 120,18] *μετατεθεῖσαι γάρ εἰσιν αἱ ΛΚ, ΚΘ, αἵτινες ἦσαν ἴσαι· αἱ ϛΕ, Ελ διὰ τοῦτο οὖν ἴσαι.*

121. *Σχόλιον. ὅτι δὲ αἱ ἴσον ἀπέχουσαι τοῦ ἰσημερινοῦ ἐν ἴσῳ χρόνῳ καὶ ἀνατέλλουσι, δέδεικται μὲν ἐν τῇ ἄλλῃ ἐκδόσει τοῦ θεωρήματος ἐν τῇ πρὸ ταύτης καταγραφῇ· ἡ αὐτὴ δέ ἐστιν ἡ ἐν τούτῳ δεῖξις ἡ περὶ τοῦ ἐν ἴσῳ χρόνῳ δύνειν, τὰς παρ' ἑκατέρῳ τοῦ ἰσημερινοῦ τοῦ ἐν ἴσῳ ἀνατέλλειν αὐτάς. ἐὰν γὰρ μεταστρέψωμεν τὸν ζῳδιακὸν καὶ ποιήσωμεν τὸ ΑΓ ὑπὸ γῆν, ὡς ἔχει ἡ καταγραφή, ἡ αὐτὴ ἀπόδειξις ἁρμόσει.*

122. Ad finem prop. *τῆς γὰρ αὐτῆς μενούσης καταγραφῆς ἐὰν μεταστρέψωμεν τὸν ζῳδιακὸν καὶ ποιήσωμεν το ΑΓ ἡμικύκλιον τοῦ ζῳδιακοῦ ὑπὸ γῆν, ἡ αὐτὴ ἀπόδειξις προβήσεται καὶ δειχθήσονται αἱ ἴσον ἀπέχουσαι τοῦ ἰσημερινοῦ ἐν ἴσῳ χρόνῳ καὶ ἀνατέλλουσαι.*

118. Vat^{1}AM^{3}p^{1}qsx. 119. Vat^{2}p^2. 120. Vat^{1}Dp^2. 121. Vat^1 CDλM^{2}p^{1}qx. 122. Vat (textui m. rec. interpos., om. cett.).

3. *ΚΘ*] *ΗΘ* M, *ΘΗ* s. 5. *σχόλιον*] om. Mp. *χρὴ εἰδέναι* Msx. *ἤν*] *εἰ* qsx. 8. *λέγειν*] *λέγει* s. 11. *ἐγγυτέρου* qx. 17. *σχόλιον*] om. C. *ὅτι*] *εἰσί* q. 20. *δεῖξις*] *ἀπόδειξις* CDqx. 23. Ante *ἡ* add. *αὕτη* CDqx.

Ad prop. XIV demonstr. alt.

123. *Ἡ ΤΥ ἄρα περιφέρεια* p. 124,4] *διὰ γὰρ τοῦ Υ καὶ τοῦ Μ πόλου τοῦ ΑΒΓ κύκλου μέγιστος κύκλος γεγράφθω ὁ ΜΥω· ὁ ΜΥω ἄρα ὀρθός ἐστι πρὸς τὸν ΑΒΓ· διὰ γὰρ τῶν πόλων αὐτοῦ ἐστιν. καὶ ἐπεὶ κύκλου τοῦ ΑΒΓ ἐπὶ διαμέτρου τῆς ἀπὸ τοῦ ω ὀρθὸν τμῆμα κύκλου ἐφέστηκε τὸ ωΥΜ καὶ ἀφῃρημένη ἐστὶν ἡ Υω ἐλάσσων ἢ ἡμίσεια οὖσα τοῦ ἐφεστῶτος τμήματος· καὶ γὰρ ἡ ἀπὸ τοῦ ω ἐπὶ τὸ Μ πόλον τοῦ ΑΒΓ κύκλου τεταρτημορίου ἐστίν· ὑπόκειται γὰρ ὁ πόλος μεταξὺ τοῦ τε ΑΔ καὶ τοῦ ΑΚ κύκλου· ἡ ἄρα Υω ἐλάσσων ἐστὶν ἢ ἡμίσεια τοῦ ἐφεστῶτος τμήματος. καὶ διὰ τοῦ α΄ τοῦ γ΄ τῶν Σφαιρικῶν ἐλάσσων ἐστὶν ἡ μὲν ἀπὸ τοῦ Υ ἐπὶ τὸ ω τῆς ἀπὸ τοῦ Υ ἐπὶ τὸ Τ, ἡ δὲ ἀπὸ τοῦ Υ ἐπὶ τὸ Τ τῆς ἀπὸ τοῦ Υ ἐπὶ τὸ Σ· ὥστε καὶ ἡ ΥΤ ἐλάσσων ἐστὶ τῆς ΥΝΣ.*

124. *Ἔχε τὴν ἐπίστασίν σου, ἄνθρωπε.*

125. *Αἱ ΣΗ, ΠΡ ἄρα* p. 128,14] *δέδεικται λοιπόν, ὅτι ἐν ἴσῳ χρόνῳ αἱ ἴσον ἀπέχουσαι τοῦ Θερινοῦ.*

126. *Σχόλιον. καθόλου χρὴ εἰδέναι, ὅτι τῶν προηγουμένων σημείων ἐπὶ τοῦ ὁρίζοντος ὄντων ἡ περιφέρεια οὔπω ἀνατέλλει οὔτε δύνει, τῶν δὲ ἑπομένων σημείων ἐπὶ τοῦ ὁρίζοντος ὄντων πᾶσα ἀνέτειλε καὶ πᾶσα ἔδυ. τὰ γὰρ προηγούμενα σημεῖα καὶ πρότερα ἀνατέλλει καὶ πρότερα δύνει κατὰ τὸ δ΄ θεώρημα. τῆς ΠΡ περιφερείας προηγούμενον σημεῖόν ἐστι τὸ Π, τῆς δὲ ΗΖ προηγούμενον τὸ Η. λαβὼν οὖν τὴν μὲν ΠΡ δύνουσαν, τὴν δὲ ΗΖ ἀνατέλλουσαν, ἀναγκαίως τὰς ἐξαλλαγὰς αὐτῶν*

123. V¹DλAp¹sx. 124. D. 125. Vat²p². 126. Vat¹CD M³p¹ (*ὡς ἐν τῷ σχολίῳ*) qrs; in textu *λ*.

8. *ἐλάσσων*] *ἄρα* codd. 10. *τοῦ*] *τῶν* sx. 15. *τῆς — Σ*] om. sx. Post *ΥΤ* add. *περιφέρειαν* A, item lin. 16 *περιφερείας* post *ΤΝΣ*. 17. *ἔχε*] comp. obscurum. 20. *καθόλου*] *καὶ ἐν καθόλῳ* qrs. 21. *ἡ*] addidi. 24. *προηγούμενα*] *προηγμένα* Vat. 25. *δ΄*] *ε΄* VatMp. Post *τῆς* add. *οὖν* Cs. 26. Ante *σημεῖον* add. *ἦν* Cs. *ἐστι*] om. Cs.

ζητῶν τὰς ἐπὶ τοῦ φανεροῦ ἡμισφαιρίου προσέλαβε τῆς μὲν ΠΡ τὴν δύσιν, τῆς δὲ ΗΖ τὴν ἀνατολήν. ὅτε γὰρ τὸ Π ἐπὶ τὸ Λ ἔρχεται, ἡ ΠΡ οὔπω δύνει, ἀλλ' ἔτι ὑπὲρ γῆς ἐστιν· διὸ προσέλαβεν αὐτῆς τὴν δύσιν. τοῦ γὰρ Π κατὰ τὸ Κ ἐπὶ τῆς ἀνατολῆς ὄντος, ἡ ΠΡ πᾶσα ὑπὸ γῆν ἐστι καὶ κινουμένης τῆς σφαίρας ἄνω φέρεται πᾶσα. διὸ ἐν ᾧ τὸ Π ἀπὸ τοῦ Κ ἐπὶ τὸ Λ ἔρχεται, μετὰ τῆς δύσεως τῆς ΠΡ ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ ΠΡ ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον. πάλιν τοῦ Ζ κατὰ τὸ Κ ἐπὶ τῆς ἀνατολῆς ὄντος ἡ ΗΖ πᾶσα προανέτειλεν· διὸ προσέλαβεν αὐτῆς τὴν ἀνατολήν. γενομένου δὲ τοῦ Ζ κατὰ τὸ Λ, πᾶσα ἡ ΗΖ δύνει. διὸ ἐν ᾧ τὸ Ζ ἀπὸ τοῦ Κ ἐπὶ τὸ Λ ἔρχεται, μετὰ τῆς ἀνατολῆς τῆς ΗΖ ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ ΗΖ ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον. ἐὰν δέ, ὡς ἔχει ἐν ἄλλῃ ἐκδόσει, τῆς μὲν ΠΡ τὴν ἀνατολήν, τῆς δὲ ΗΖ τὴν δύσιν, οὐκέτι λήψει τὰ Π, Ζ σημεῖα, ἀλλὰ τὰ Ρ, Η καὶ τὸν χρόνον, ἐν ᾧ τότε Ρ τὴν ΝΜ διέρχεται καὶ τὸ Η τὴν ΝΜ.


127. Ἐκ περισσοῦ. τῶν αὐτῶν ὑποκειμένων ἀπειλήφθω ἡ ΕΖ μὴ μείζων τεταρτημορίου, καὶ ἔστω καθ' οὗ φέρεται τὸ Ζ σημεῖον, ὁ ΖΚΘ κύκλος· ἴση ἄρα ἐστὶν ἡ ΕΖ τῇ ΕΚ [Theodos. II, 13]· κείσθω τῇ ΕΚ ἴση ἡ ΛΚ· ὅλη ἄρα ἡ ΕΖΚ ὅλῃ τῇ ΕΛ ἐστιν ἴση· λέγω, ὅτι, εἰ μὲν τεταρτημορίου ἐστὶν ἡ ΕΖ, αἱ ΖΕΚ, ΕΚΛ ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσι τὸ φανερὸν ἡμισφαίριον· εἰ δὲ ἐλάσσων ἐστὶ τεταρτημορίου ἡ ΕΖ, ἐν πλείονι χρόνῳ ἡ ΖΕΚ ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον ἤπερ ἡ ΕΚΛ.

ἔστω πρότερον τεταρτημορίου ἡ ΕΖ· καὶ ἡ ΕΚ ἄρα τεταρτημορίου ἐστίν· ἰσημερινὸς ἄρα ἐστὶν ὁ ΗΖΘ. καὶ ἐπεὶ αἱ ΕΚ, ΚΛ ἴσον ἀπέχουσι τοῦ ἰσημερινοῦ, ἐν

Scholia 127, 128, 129 post dem. alt. prop. XIV in textu hab. Vat.

1. προέλαβεν p. 5. τό] τοῦ Vat. 12. τό (pr.)] τοῦ p. 23. ΕΛ] ΕΚΛ m. 2 Vat. 27. ΕΚΛ] Λ add.m. 2 Vat.

ᾧ ἄρα χρόνῳ ἡ *EK* δύνει, ἐν τούτῳ καὶ ἡ *KΛ* [prop. 12]· ἐν ᾧ δὲ χρόνῳ ἡ *EK* δύνει, ἐν τούτῳ ἡ *EZ* ἀνατέλλει· καὶ ἐν ᾧ ἄρα χρόνῳ ἡ *EZ* ἀνατέλλει, ἡ *KΛ* δύνει. κοινὸς προσκείσθω ὁ χρόνος, ἐν ᾧ ἡ *EK* ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον· ὁ ἄρα χρόνος, ἐν ᾧ ἡ *KΛ* δύνει, μετὰ τοῦ χρόνου, ἐν ᾧ ἡ *EK* ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον, ἴσος ἐστὶ τῷ χρόνῳ, ἐν ᾧ ἡ *EZ* ἀνατέλλει καὶ ἡ *EK* ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον. ἀλλ' ὁ μὲν χρόνος, ἐν ᾧ ἡ *ΛK* δύνει καὶ ἡ *KE* ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον, ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ *EΛ* ἐξαλλάσσει τὸ φανερὸν ἡμισφαίριον· ὁ δὲ χρόνος, ἐν ᾧ ἡ *EZ* ἀνατέλλει, μετὰ τοῦ χρόνου, ἐν ᾧ ἡ *EK* ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον, ὁ χρόνος ἐστίν, ἐν ᾧ ἡ *ZEK* ἐξαλλάττει τὸ φανερὸν ἡμισφαίριον· αἱ *ZEK*, *EKΛ* ἄρα ἐν ἴσῳ χρόνῳ ἐξαλλάσσουσι τὸ φανερὸν ἡμισφαίριον.




ιε'. Τούτου προτεθεωρημένου ἔστω παράλληλος ἡ AB τῇ $\Gamma\Delta$, καὶ εἰς αὐτὰς ἐμπιπτέτωσαν εὐθεῖαι αἱ AZ, ZB, ΓE, $E\Delta$, καὶ ἐπεζεύχθωσαν αἱ $B\Gamma$, HK· ὅτι εὐθεῖά ἐστιν ἡ διὰ τῶν A, M, Δ.


Ἐπεζεύχθω ἡ ΔM καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Θ.


ἐπεὶ οὖν τριγώνου τοῦ $B\Gamma Z$ ἐκτὸς ἀπὸ τῆς κορυφῆς

---

11. BZ, ΓH] $B\Gamma$, ZH cod.; ZB ΓH Hultsch cum Commandino. 12. *ἐστιν*] del. Hultsch. 18. *τουτέστιν ἡ*] coniecit Hultsch, *τουτέστιν ὡς ἡ* cod., *πρὸς τὴν HZ τουτέστιν ὡς ἡ* Hultsch. 29. *ἐκτὸς*] del. Hultsch cum Simsono, sed u. lemma XI extr.

τοῦ *B* σημείου τῇ *ΓΔ* παράλληλος ἦκται ἡ *BE*, καὶ διῆκται ἡ *ΔE*, γίνεται, ὡς ἡ *ΓZ* πρὸς *ZΔ*, οὕτως τὸ ὑπὸ *ΔE*, *KΔ* πρὸς τὸ ὑπὸ *EΔ*, *KΔ*. ὡς δὲ τὸ ὑπὸ *ΔE*, *KΔ* πρὸς τὸ ὑπὸ *ΔK*, *ΛE*, οὕτως ἐστὶν τὸ ὑπὸ *ΓH*, *ΘE* πρὸς τὸ ὑπὸ *ΓE*, *HΘ*, ἐπεὶ εἰς τρεῖς εὐθείας τὰς *ΓΔ*, *ΔΘ*, *HK* δύο εἰσὶν διηγμέναι ἀπὸ τοῦ αὐτοῦ σημείου τοῦ *E* αἱ *EΓ*, *EΔ*· καὶ ὡς ἄρα ἡ *ΔZ* πρὸς *ZΓ*, οὕτως ἐστὶν τὸ ὑπὸ *ΓE*, *HΘ* πρὸς τὸ ὑπὸ *ΓH*, *ΘE*. διὰ τὸ προγεγραμμένον ἄρα ἡ διὰ τῶν *A*, *M*, *Δ* ἐστιν εὐθεῖα.





ις΄. Εἰς δύο εὐθείας τὰς *AB*, *AΓ* ἀπὸ τοῦ αὐτοῦ σημείου τοῦ *Δ* δύο διήχθωσαν αἱ *ΔB*, *ΔE*, καὶ ἐπ' αὐτῶν εἰλήφθω σημεῖα τὰ *H*, *Θ*, ἔστω δέ, ὡς τὸ ὑπὸ *EH*, *ZΔ* πρὸς τὸ ὑπὸ *ΔE*, *HZ*, οὕτως τὸ ὑπὸ *BΘ*, *ΓΔ* πρὸς τὸ ὑπὸ *BΔ*, *ΓΘ*· ὅτι εὐθεῖά ἐστιν ἡ διὰ τῶν *A*, *H*, *Θ*.

ἤχθω διὰ τοῦ *H* τῇ *BΔ* παράλληλος ἡ *KΛ*.

ἐπεὶ οὖν ἐστιν, ὡς τὸ ὑπὸ *EH*, *ZΔ* πρὸς τὸ ὑπὸ *ΔE*, *ZH*, οὕτως τὸ ὑπὸ *BΘ*, *ΓΔ* πρὸς τὸ ὑπὸ *BΔ*, *ΓΘ*, ἀλλὰ ὁ τοῦ ὑπὸ *EH*, *ZΔ* πρὸς τὸ ὑπὸ *ΔE*, *HZ* συνῆπται

---

5. ἐπεὶ εἰς] εἰς cod., εἰς γὰρ Hultsch cum Commandino. 8. Ante διὰ add. καὶ ἔστιν εὐθεῖα ἡ διὰ τῶν *HMK* cod. (etiam p. 256, 27 pro *A*, *M*, *Δ* hab. *H*, *M*, *K*), καὶ ἔστιν εὐθεῖα ἡ διὰ τῶν *Θ*, *M*, *Δ* Hultsch praeeunte Commandino. 9. προγεγραμμένον] lemma XIV. ἄρα] ἄρα καὶ cod., Hultsch.


λόγος ἔκ τε τοῦ ὃν ἔχει ἡ ΗΕ πρὸς ΕΔ, τουτέστιν ἡ ΚΗ πρὸς ΒΔ, καὶ ἐξ οὗ ὃν ἔχει ἡ ΔΖ πρὸς ΖΗ, τουτέστιν ἡ ΓΔ πρὸς τὴν ΗΔ, ὁ δὲ τοῦ ὑπὸ ΒΘ, ΓΔ πρὸς τὸ ὑπὸ ΒΔ, ΓΘ συνῆπται λόγος ἔκ τε τοῦ ὃν ἔχει ἡ ΘΒ πρὸς ΒΔ καὶ ἐξ οὗ ὃν ἔχει ἡ ΔΓ πρὸς ΓΘ, καὶ ὁ ἔκ τε τοῦ τῆς ΚΗ ἄρα πρὸς ΒΔ καὶ τοῦ τῆς ΔΓ πρὸς ΗΔ ὁ αὐτός ἐστιν τῷ συνημμένῳ ἔκ τε τοῦ τῆς ΒΘ πρὸς ΒΔ καὶ τοῦ τῆς ΔΓ πρὸς ΓΘ. ὁ δὲ τῆς ΚΗ πρὸς ΒΔ συνῆπται ἔκ τε τοῦ τῆς ΚΗ πρὸς ΒΘ καὶ τοῦ τῆς ΒΘ πρὸς ΒΔ· ὁ ἄρα συνημμένος ἔκ τε τοῦ τῆς ΚΗ πρὸς ΒΘ καὶ τοῦ τῆς ΒΘ πρὸς ΒΔ καὶ ἔτι τοῦ τῆς ΔΓ πρὸς ΗΔ ὁ αὐτός ἐστιν τῷ συνημμένῳ ἔκ τε τοῦ τῆς ΒΘ πρὸς ΒΔ καὶ τοῦ τῆς ΔΓ πρὸς ΓΘ. κοινὸς ἐκκεκρούσθω ὁ τῆς ΘΒ πρὸς ΒΔ λόγος· λοιπὸς ἄρα ὁ συνημμένος ἔκ τε τοῦ τῆς ΚΗ πρὸς ΒΘ καὶ τοῦ τῆς ΔΓ πρὸς ΗΔ ὁ αὐτός ἐστιν τῷ τῆς ΔΓ πρὸς τὴν ΓΘ, τουτέστιν τῷ συνημμένῳ ἔκ τε τοῦ τῆς ΔΓ πρὸς τὴν ΗΔ καὶ τοῦ τῆς ΗΔ πρὸς τὴν ΘΓ. καὶ πάλιν κοινὸς ἐκκεκρούσθω ὁ τῆς ΔΓ πρὸς τὴν ΗΔ λόγος· λοιπὸς ἄρα ὁ τῆς ΚΗ πρὸς τὴν ΒΘ λόγος ὁ αὐτός ἐστιν τῷ τῆς ΗΔ πρὸς τὴν ΘΓ. καὶ ἐναλλάξ ἐστιν, ὡς ἡ ΚΗ πρὸς τὴν ΗΔ, οὕτως ἡ ΒΘ πρὸς τὴν ΘΓ. καί εἰσιν αἱ ΚΔ, ΒΓ παράλληλοι· εὐθεῖα ἄρα ἐστὶν ἡ διὰ τῶν Α, Η, Θ σημείων.

ιζ'. Ἀλλὰ δὴ μὴ ἔστω παράλληλος ἡ ΑΒ τῇ ΓΔ, ἀλλὰ συμπιπτέτω κατὰ τὸ Ν.

ἐπεὶ οὖν ἀπὸ τοῦ αὐτοῦ σημείου τοῦ Δ εἰς τρεῖς εὐθείας τὰς ΒΝ, ΒΓ, ΒΖ δύο εὐθεῖαι διηγμέναι εἰσὶν αἱ ΔΕ, ΔΝ, ἔστιν, ὡς τὸ ὑπὸ ΝΔ, ΓΖ πρὸς τὸ ὑπὸ ΝΓ, ΔΖ, οὕτως τὸ ὑπὸ ΔΕ, ΚΔ πρὸς τὸ ὑπὸ ΕΔ, ΚΔ. ὡς δὲ τὸ ὑπὸ ΕΔ, ΚΔ πρὸς τὸ ὑπὸ ΕΔ, ΚΔ, οὕτως ἐστὶν τὸ ὑπὸ ΕΘ, ΓΗ πρὸς τὸ ὑπὸ ΕΓ, ΘΗ· πάλιν

14. ΘΒ] ΒΘ Hultsch.

γὰρ εἰς τρεῖς τὰς ΓΔ, ΔΘ, ΗΚ ἀπὶ τοῦ αὐτοῦ σημείου τοῦ Ε δύο ἠγμέναι εἰσὶν αἱ ΕΓ, ΕΔ· καὶ ὡς ἄρα τὸ ὑπὸ ΕΘ, ΓΗ πρὸς τὸ ὑπὸ ΕΓ, ΘΗ, οὕτως τὸ ὑπὸ ΝΔ,




ΓΖ πρὸς τὸ ὑπὸ ΝΓ, ΖΔ. διὰ δὴ τὸ προγεγραμμένον εὐθεῖά ἐστιν ἡ διὰ τῶν Α, Θ, Δ· καὶ ἡ διὰ τῶν Α, Μ, Δ ἄρα εὐθεῖά ἐστιν.

ιη'. Τρίγωνον τὸ ΑΒΓ, καὶ τῇ ΒΓ παράλληλος ἤχθω ἡ ΑΔ, καὶ διήχθωσαν αἱ ΔΕ, ΖΗ, ἔστω δέ, ὡς τὸ ἀπὸ ΕΒ πρὸς τὸ ὑπὸ ΕΓΒ, οὕτως ἡ ΒΗ πρὸς τὴν ΗΓ· ὅτι, ἐὰν ἐπιζευχθῇ ἡ ΒΔ, γίνεται εὐθεῖα ἡ διὰ τῶν Θ, Κ, Γ.

ἐπεί ἐστιν, ὡς τὸ ἀπὸ τῆς ΕΒ πρὸς τὸ ὑπὸ ΕΓΒ, οὕτως ἡ ΒΗ πρὸς ΗΓ, κοινὸς ἄρα προσκείσθω ὁ τῆς ΓΕ πρὸς ΕΒ λόγος ὁ αὐτὸς ὢν τῷ τοῦ ὑπὸ ΕΓΒ πρὸς τὸ ὑπὸ ΕΒΓ· δι' ἴσου ἄρα ὁ τοῦ ἀπὸ ΕΒ πρὸς τὸ ὑπὸ ΕΒΓ λόγος, τουτέστιν ὁ τῆς ΕΒ πρὸς τὴν ΒΓ, ὁ αὐτός ἐστιν τῷ συνημμένῳ ἔκ τε τοῦ τῆς ΒΗ πρὸς ΗΓ καὶ τοῦ τοῦ ὑπὸ ΕΓΒ πρὸς τὸ ὑπὸ ΕΒΓ, ὅς ἐστιν ὁ αὐτὸς τῷ τῆς ΕΓ πρὸς ΕΒ· ὥστε ὁ τοῦ ἀπὸ ΕΒ πρὸς τὸ ὑπὸ

4. προγεγραμμένον] lemma XVI. 13. ἄρα] uncis incl. Hultsch.

ΕΒΓ συνῆπται ἔκ τε τοῦ ὃν ἔχει ἡ ΒΗ πρὸς ΗΓ καὶ τοῦ ὃν ἔχει ἡ ΕΓ πρὸς ΕΒ, ὅς ἐστιν ὁ αὐτὸς τῷ τοῦ ὑπὸ ΕΓ, ΒΗ πρὸς τὸ ὑπὸ ΕΒ, ΓΗ. ὡς δὲ ἡ ΕΒ πρὸς τὴν ΒΓ, οὕτως ἐστὶν διὰ τὸ προγεγραμμένον λῆμμα τὸ ὑπὸ ΔΕ, ΖΘ πρὸς τὸ ὑπὸ ΔΖ, ΘΕ· καὶ ὡς ἄρα τὸ




ὑπὸ ΓΕ, ΒΗ πρὸς τὸ ὑπὸ ΓΗ, ΕΒ, οὕτως ἐστὶν τὸ ὑπὸ ΔΕ, ΖΘ πρὸς τὸ ὑπὸ ΔΖ, ΘΕ. εὐθεῖα ἄρα ἐστὶν ἡ διὰ τῶν Θ, Κ, Γ· τοῦτο γὰρ ἐν τοῖς πτωτικοῖς τῶν ἀναστροφίων.

ιθ΄. Εἰς τρεῖς εὐθείας τὰς ΑΒ, ΑΓ, ΑΔ ἀπό τινος σημείου τοῦ Ε δύο διήχθωσαν αἱ ΕΖ, ΕΒ, ἔστω δέ, ὡς ἡ ΕΖ πρὸς τὴν ΖΗ, οὕτως ἡ ΘΕ πρὸς τὴν ΘΗ· ὅτι γίνεται καί, ὡς ἡ ΒΕ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΕΔ πρὸς τὴν ΔΓ.

ἤχθω διὰ τοῦ Η τῇ ΒΕ παράλληλος ἡ ΔΚ.

ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΕΖ




4. *προγεγραμμένον*] lemma XI (perperam usurpatum). 5. *ΔΕ, ΖΘ*] *ΔΖ ΘΕ* Hultsch cum Simsono. *ΔΖ, ΘΕ*] *ΔΕ ΖΘ* Hultsch cum Simsono. 7. *ΔΕ, ΖΘ*] *ΔΖ ΘΕ* Hultsch cum Simsono. *ΔΖ, ΘΕ*] *ΔΕ ΖΘ* Hultsch cum Simsono. 8. *τοῦτο*] u. lemma XVI, quod ut lemma X *ἀναστρόφιον* est lemmatis III.

πρὸς τὴν ZH, οὕτως ἡ EΘ πρὸς τὴν ΘH, ἀλλ' ὡς μὲν ἡ EZ πρὸς τὴν ZH, οὕτως ἡ EB πρὸς τὴν HK, ὡς δὲ ἡ EΘ πρὸς τὴν ΘH, οὕτως ἐστὶν ἡ ΔE πρὸς τὴν HΔ, καὶ ὡς ἄρα ἡ BE πρὸς τὴν HK, οὕτως ἐστὶν ἡ ΔE πρὸς τὴν HΔ. ἐναλλάξ ἐστιν, ὡς ἡ EB πρὸς τὴν EΔ, οὕτως ἡ KH πρὸς τὴν HΔ. ὡς δὲ ἡ KH πρὸς τὴν HΔ, οὕτως ἐστὶν ἡ BΓ πρὸς τὴν ΓΔ· καὶ ὡς ἄρα ἡ BE πρὸς τὴν EΔ, οὕτως ἡ BΓ πρὸς τὴν ΓΔ. ἐναλλάξ ἐστιν, ὡς ἡ EB πρὸς τὴν BΓ, οὕτως ἡ EΔ πρὸς τὴν ΔΓ.

τὰ δὲ πτωτικὰ ὁμοίως.

κ'. Ἔστω δύο τρίγωνα τὰ ABΓ, ΔEZ ἴσας ἔχοντα τὰς A, Δ γωνίας· ὅτι ἐστίν, ὡς τὸ ὑπὸ BAΓ πρὸς τὸ ὑπὸ EΔZ, οὕτως τὸ ABΓ τρίγωνον πρὸς τὸ EΔZ τρίγωνον.

ἤχθωσαν κάθετοι αἱ BH, EΘ.




ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν A γωνία τῇ Δ, ἡ δὲ H τῇ Θ, ἔστιν ἄρα, ὡς ἡ AB πρὸς τὴν BH, οὕτως ἡ ΔE πρὸς τὴν EΘ. ἀλλ' ὡς μὲν ἡ AB πρὸς τὴν BH, οὕτως ἐστὶν τὸ ὑπὸ BAΓ πρὸς τὸ ὑπὸ BH, AΓ, ὡς δὲ ἡ ΔE πρὸς τὴν EΘ, οὕτως ἐστὶν τὸ ὑπὸ EΔZ πρὸς τὸ ὑπὸ EΘ, ΔZ· ἔστιν ἄρα, ὡς τὸ ὑπὸ BAΓ πρὸς τὸ ὑπὸ BH, AΓ, οὕτως τὸ ὑπὸ EΔZ πρὸς τὸ ὑπὸ EΘ, ΔZ· καὶ ἐναλλάξ. ἀλλ' ὡς τὸ ὑπὸ BH, AΓ πρὸς τὸ ὑπὸ EΘ, ΔZ, οὕτως ἐστὶν τὸ ABΓ τρίγωνον πρὸς τὸ ΔEZ τρίγωνον· ἑκατέρα γὰρ τῶν BH, EΘ κάθετός ἐστιν ἑκατέρου τῶν εἰρημένων τριγώνων· καὶ ὡς ἄρα τὸ ὑπὸ BAΓ πρὸς τὸ

13. EΔZ] ΔEZ Hultsch.

ὑπὸ ΕΔΖ, οὕτως ἐστὶν τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖ τρίγωνον.


κά. Ἔστωσαν δὴ αἱ Α, Δ δυσὶν ὀρθαῖς ἴσαι· ὅτι πάλιν γίνεται, ὡς τὸ ὑπὸ ΒΑΓ πρὸς τὸ ὑπὸ ΕΔΖ, οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖ τρίγωνον.

ἐκβεβλήσθω ἡ ΒΑ, καὶ κείσθω τῇ ΒΑ ἴση ἡ ΑΗ, καὶ ἐπεζεύχθω ἡ ΓΗ.



ἐπεὶ οὖν αἱ Α, Δ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, ἀλλὰ καὶ αἱ ὑπὸ ΒΑΓ, ΓΑΗ γωνίαι δυσὶν ὀρθαῖς, ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΓΑΗ γωνία τῇ Δ. ἔστιν οὖν, ὡς τὸ ὑπὸ ΗΑΓ πρὸς τὸ ὑπὸ ΕΔΖ, οὕτως τὸ ΑΗΓ τρίγωνον πρὸς τὸ ΔΕΖ τρίγωνον. ἴση δέ ἐστιν ἡ μὲν ΗΑ τῇ ΑΒ, τὸ δὲ ΗΑΓ τρίγωνον τῷ ΑΒΓ τριγώνῳ· ἔστιν ἄρα, ὡς τὸ ὑπὸ ΒΑΓ πρὸς τὸ ὑπὸ ΕΔΖ, οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖ τρίγωνον.

κβ. Εὐθεῖα ἡ ΑΒ, καὶ ἐπ' αὐτῆς δύο σημεῖα τὰ Γ, Δ, ἔστω δὲ τὸ δὶς ὑπὸ ΑΒ, ΓΔ ἴσον τῷ ἀπὸ ΓΒ· ὅτι καὶ τὸ ἀπὸ ΑΔ ἴσον ἐστὶν τοῖς ἀπὸ τῶν ΑΓ, ΔΒ τετραγώνοις.




ἐπεὶ γὰρ τὸ δὶς ὑπὸ ΑΒ, ΓΔ ἴσον ἐστὶ τῷ ἀπὸ ΓΒ, κοινὸν ἀφῃρήσθω τὸ δὶς ὑπὸ ΒΔΓ· λοιπὸν ἄρα τὸ δὶς ὑπὸ ΑΔΓ ἴσον ἐστὶν τοῖς ἀπὸ τῶν ΓΔ, ΔΒ τετραγώνοις. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ ΓΔ τετράγωνον· λοι-

9. ὀρθαῖς] ὀρθαῖς ἴσαι suspicatur Hultsch.

πὸν ἄρα τὸ δὶς ὑπὸ $A\Gamma\Delta$ μετὰ τοῦ ἀπὸ $\Gamma\Delta$ ἴσον ἐστὶν τῷ ἀπὸ ΔB τετραγώνῳ. κοινὸν προσκείσθω τὸ ἀπὸ $A\Gamma$ τετράγωνον· ὅλον ἄρα τὸ ἀπὸ $A\Delta$ τετράγωνον ἴσον ἐστὶν τοῖς ἀπὸ τῶν $A\Gamma$, ΔB τετραγώνοις.

κγ'. Ἔστω τὸ ὑπὸ $AB\Gamma$ ἴσον τῷ ἀπὸ $B\Delta$ τετραγώνῳ· ὅτι γίνεται $\bar{\gamma}$, τὸ μὲν ὑπὸ συναμφοτέρου τῆς $A\Delta\Gamma$ καὶ τῆς $B\Delta$ ἴσον τῷ ὑπὸ $A\Delta$, $\Delta\Gamma$, τὸ δὲ ὑπὸ συναμφοτέρου τῆς $A\Delta\Gamma$ καὶ τῆς $B\Gamma$ ἴσον τῷ ἀπὸ $\Delta\Gamma$ τετραγώνῳ, τὸ δὲ ὑπὸ συναμφοτέρου τῆς $A\Delta\Gamma$ καὶ τῆς BA ἴσον τῷ ἀπὸ $A\Delta$ τετραγώνῳ.



ἐπεὶ γὰρ τὸ ὑπὸ $AB\Gamma$ ἴσον ἐστὶν τῷ ἀπὸ $B\Delta$, ἀνάλογον καὶ ὅλη πρὸς ὅλην καὶ ἀνάπαλιν καὶ συνθέντι· ἔστιν ἄρα, ὡς συναμφότερος ἡ $\Gamma\Delta$, ΔA πρὸς τὴν ΔA, οὕτως ἡ $\Gamma\Delta$ πρὸς τὴν ΔB· τὸ ἄρα ὑπὸ συναμφοτέρου τῆς $A\Delta$, $\Delta\Gamma$ καὶ τῆς $B\Delta$ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν $A\Delta\Gamma$. πάλιν, ἐπεὶ ὅλη ἡ $A\Delta$ πρὸς ὅλην τὴν $\Delta\Gamma$ ἐστιν, ὡς ἡ ΔB πρὸς τὴν $B\Gamma$, συνθέντι ἐστίν, ὡς συναμφότερος ἡ $A\Delta\Gamma$ πρὸς τὴν $\Delta\Gamma$, οὕτως ἡ $\Delta\Gamma$ πρὸς τὴν ΓB· τὸ ἄρα ὑπὸ συναμφοτέρου τῆς $A\Delta\Gamma$ καὶ τῆς ΓB ἴσον ἐστὶν τῷ ἀπὸ $\Delta\Gamma$. πάλιν, ἐπεὶ ὅλη ἡ $A\Delta$ πρὸς ὅλην τὴν $\Delta\Gamma$ ἐστιν, ὡς ἡ AB πρὸς τὴν $B\Delta$, ἀνάπαλιν καὶ συνθέντι ἐστίν, ὡς συναμφότερος ἡ $\Gamma\Delta A$ πρὸς τὴν ΔA, οὕτως ἡ ΔA πρὸς τὴν AB· τὸ ἄρα ὑπὸ συναμφοτέρου τῆς $A\Delta\Gamma$ καὶ τῆς AB ἴσον ἐστὶν τῷ ἀπὸ $A\Delta$ τετραγώνῳ.


κδ'. Εὐθεῖα ἡ AB καὶ δύο σημεῖα τὰ Γ, Δ, καὶ ἔστω τὸ ἀπὸ $\Gamma\Delta$ τετράγωνον ἴσον τῷ δὶς ὑπὸ $A\Gamma$, $B\Delta$· ὅτι καὶ τὸ ἀπὸ AB τετράγωνον ἴσον ἐστὶν τοῖς ἀπὸ τῶν $A\Delta$, ΓB τετραγώνοις.

ἐπεὶ γὰρ τὸ ἀπὸ $\Gamma\Delta$ ἴσον ἐστὶν τῷ δὶς ὑπὸ $A\Gamma$, ΔB,

---


6. $\bar{\gamma}$] τρία Hultsch. 26. $A\Gamma$, $B\Delta$· ὅτι] $A\Gamma B$ διότι cod., $A\Gamma$ ΔB· ὅτι Hultsch cum Commandino.

τὸ ἄρα δὶς ὑπὸ ΑΓΒ ἴσον ἐστὶν τῷ τε ἀπὸ τῆς ΓΔ καὶ τῷ δὶς ὑπὸ τῶν ΑΓΔ. κοινὸν προσκείσθω τὸ ἀπὸ ΑΓ· τὸ ἄρα δὶς ὑπὸ ΑΓΒ μετὰ τοῦ ἀπὸ ΑΓ ἴσον ἐστὶν τῷ



ἀπὸ ΑΔ. κοινὸν προσκείσθω τὸ ἀπὸ ΒΓ· ὅλον ἄρα τὸ ἀπὸ ΑΒ τετράγωνον ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΔ, ΓΒ τετραγώνοις.

κε'. Ἔστω τὸ ὑπὸ τῶν ΑΒΓ ἴσον τῷ ἀπὸ τῆς ΒΔ· ὅτι γίνεται $\overline{\gamma}$, τὸ μὲν ὑπὸ τῆς τῶν ΑΔ, ΔΓ ὑπεροχῆς καὶ τῆς ΒΔ ἴσον τῷ ὑπὸ ΑΔΓ, τὸ δὲ ὑπὸ τῆς τῶν ΑΔΓ ὑπεροχῆς καὶ τῆς ΒΓ ἴσον τῷ ἀπὸ τῆς ΔΓ τετραγώνῳ, τὸ δὲ ὑπὸ τῆς τῶν ΑΔ, ΔΓ ὑπεροχῆς καὶ τῆς ΒΑ ἴσον τῷ ἀπὸ τῆς ΑΔ τετραγώνῳ.




ἐπεὶ γάρ ἐστιν, ὡς ἡ ΑΒ πρὸς τὴν ΒΔ, οὕτως ἡ ΒΔ πρὸς τὴν ΒΓ, λοιπὴ πρὸς λοιπὴν καὶ διελόντι· ἔστιν οὖν, ὡς ἡ τῶν ΑΔ, ΔΓ ὑπεροχὴ πρὸς τὴν ΔΓ, οὕτως ἡ ΑΔ πρὸς τὴν ΔΒ· τὸ ἄρα ὑπὸ τῆς τῶν ΑΔ, ΔΓ ὑπεροχῆς καὶ τῆς ΔΒ ἴσον ἐστὶν τῷ ὑπὸ τῶν ΑΔ, ΔΓ. πάλιν, ἐπεὶ λοιπὴ ἡ ΑΔ πρὸς λοιπὴν τὴν ΔΓ ἐστιν, ὡς ἡ ΔΒ πρὸς τὴν ΒΓ, διελόντι ἐστίν, ὡς ἡ τῶν ΑΔΓ ὑπεροχὴ πρὸς τὴν ΔΓ, οὕτως ἡ ΔΓ πρὸς τὴν ΓΒ· τὸ ἄρα ὑπὸ τῆς τῶν ΑΔ, ΔΓ ὑπεροχῆς καὶ τῆς ΒΓ ἴσον ἐστὶν τῷ ἀπὸ τῆς ΔΓ τετραγώνῳ. πάλιν, ἐπεί ἐστιν, ὡς ἡ ΑΔ πρὸς τὴν ΔΓ, οὕτως ἡ ΑΒ πρὸς τὴν ΒΔ, ἀνάπαλιν καὶ διελόντι ἐστίν, ὡς ἡ τῶν ΑΔ, ΔΓ ὑπεροχὴ πρὸς τὴν ΔΑ, οὕτως ἡ ΔΑ πρὸς τὴν ΑΒ· τὸ ἄρα ὑπὸ τῆς τῶν ΑΔ, ΔΓ ὑπεροχῆς καὶ τῆς ΑΒ ἴσον ἐστὶν τῷ ἀπὸ τῆς ΑΔ τετραγώνῳ.

---


8. $\overline{\gamma}$] τρία Hultsch. 9. ΑΔΓ (alt.)] ΑΔ ΔΓ Hultsch cum Commandino. 15. οὖν] ἄρα Hultsch. 19. ΑΔΓ] ΑΔ ΔΓ Hultsch cum Commandino.

κϛ'. Ἔστω, ὡς ἡ *ΑΒ* πρὸς τὴν *ΒΓ*, οὕτως τὸ ἀπὸ *ΑΔ* πρὸς τὸ ἀπὸ *ΔΓ*· ὅτι τὸ ὑπὸ τῶν *ΑΒΓ* ἴσον ἐστὶν τῷ ἀπὸ τῆς *ΒΔ* τετραγώνῳ.




κείσθω τῇ *ΓΔ* ἴση ἡ *ΔΕ*· τὸ ἄρα ὑπὸ *ΕΑΓ* μετὰ τοῦ ἀπὸ *ΓΔ*, τουτέστιν τοῦ ὑπὸ *ΓΔΕ*, ἴσον τῷ ἀπὸ *ΑΔ*. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ *ΑΒ* πρὸς τὴν *ΒΓ*, οὕτως τὸ ἀπὸ *ΑΔ* πρὸς τὸ ἀπὸ *ΔΓ*, διελόντι ἐστίν, ὡς ἡ *ΑΓ* πρὸς τὴν *ΓΒ*, τουτέστιν ὡς τὸ ὑπὸ *ΕΑΓ* πρὸς τὸ ὑπὸ *ΕΑ*, *ΒΓ*, οὕτως τὸ ὑπὸ *ΕΑΓ* πρὸς τὸ ὑπὸ *ΓΔΕ*· ἴσον ἄρα ἐστὶν τὸ ὑπὸ *ΑΕ*, *ΒΓ* τῷ ὑπὸ *ΓΔΕ*. ἀνάλογον καὶ διελόντι ἐστίν, ὡς ἡ *ΑΔ* πρὸς τὴν *ΔΕ*, τουτέστιν πρὸς τὴν *ΔΓ*, οὕτως ἡ *ΔΒ* πρὸς τὴν *ΒΓ*· καὶ λοιπὴ ἄρα ἡ *ΑΒ* πρὸς λοιπὴν τὴν *ΒΔ* ἐστιν, ὡς ἡ *ΒΔ* πρὸς τὴν *ΒΓ*. τὸ ἄρα ὑπὸ *ΑΒΓ* ἴσον ἐστὶν τῷ ἀπὸ τῆς *ΒΔ* τετραγώνῳ.

κζ'. Ἔστω δὲ πάλιν, ὡς ἡ *ΑΒ* πρὸς τὴν *ΒΓ*, οὕτως τὸ ἀπὸ *ΑΔ* τετράγωνον πρὸς τὸ ἀπὸ *ΔΓ* τετράγωνον· ὅτι τὸ ὑπὸ *ΑΒΓ* ἴσον ἐστὶν τῷ ἀπὸ τῆς *ΒΔ* τετραγώνῳ.




κείσθω γὰρ ὁμοίως τῇ *ΓΔ* ἴση ἡ *ΔΕ*· τὸ ἄρα ὑπὸ *ΓΑΕ* μετὰ τοῦ ἀπὸ *ΓΔ*, τουτέστιν τοῦ ὑπὸ *ΕΔΓ*, ἴσον τῷ ἀπὸ *ΑΔ*. καὶ γίνεται κατὰ διαίρεσιν, ὡς ἡ *ΑΓ* πρὸς τὴν *ΓΒ*, τουτέστιν ὡς τὸ ὑπὸ *ΕΑΓ* πρὸς τὸ ὑπὸ *ΕΑ*, *ΓΒ*, οὕτως τὸ ὑπὸ *ΓΑΕ* πρὸς τὸ ὑπὸ *ΕΔΓ*· ἴσον ἄρα ἐστὶν τὸ ὑπὸ *ΑΕ*, *ΓΒ* τῷ ὑπὸ *ΕΔΓ*. ἀνάλογον καὶ συνθέντι ἐστίν, ὡς ἡ *ΑΔ* πρὸς τὴν *ΔΕ*, τουτέστιν πρὸς τὴν *ΔΓ*, οὕτως ἡ *ΔΒ* πρὸς τὴν *ΒΓ*· καὶ ὅλη ἄρα ἡ *ΑΒ* πρὸς ὅλην τὴν *ΒΔ* ἐστιν, ὡς ἡ *ΒΔ* πρὸς τὴν *ΒΓ*. τὸ ἄρα ὑπὸ τῶν *ΑΒΓ* ἴσον ἐστὶν τῷ ἀπὸ τῆς *ΒΔ* τετραγώνῳ.


κη΄. Κύκλου τοῦ ΑΒΓ ἐφαπτέσθωσαν αἱ ΑΔ, ΔΓ, καὶ ἐπεζεύχθω ἡ ΑΓ, καὶ διήχθω τυχοῦσα ἡ ΔΒ· ὅτι γίνεται, ὡς ἡ ΒΔ πρὸς τὴν ΔΕ, οὕτως ἡ ΒΖ πρὸς τὴν ΖΕ.



ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΑΔ τῇ ΔΓ, τὸ ἄρα ὑπὸ ΑΖΓ μετὰ τοῦ ἀπὸ ΖΔ ἴσον ἐστὶν τῷ ἀπὸ ΔΑ. ἀλλὰ τὸ μὲν ὑπὸ ΑΖΓ ἴσον ἐστὶν τῷ ὑπὸ ΒΖΕ, τὸ δὲ ἀπὸ ΔΑ ἐστιν τὸ ὑπὸ ΒΔΕ· τὸ ἄρα ὑπὸ ΒΖΕ μετὰ τοῦ ἀπὸ ΔΖ ἴσον ἐστὶν τῷ ὑπὸ ΒΔΕ. ἐὰν δὲ ᾖ τοῦτο, γίνεται, ὡς ἡ ΒΔ πρὸς τὴν ΔΕ, οὕτως ἡ ΒΖ πρὸς τὴν ΖΕ.

κθ΄. Τμήματος δοθέντος τοῦ ἐπὶ τῆς ΑΒ κλάσαι εὐθεῖαν τὴν ΑΓΒ ἐν λόγῳ τῷ δοθέντι.





γεγονέτω, καὶ διήχθω ἀπὸ τοῦ Γ ἐφαπτομένη ἡ ΓΔ· ὡς ἄρα τὸ ἀπὸ ΑΓ πρὸς τὸ ἀπὸ ΒΓ, οὕτως ἡ ΑΔ πρὸς ΔΒ. λόγος δὲ τοῦ ἀπὸ ΑΓ πρὸς τὸ ἀπὸ ΓΒ δοθείς· ὥστε καὶ ὁ τῆς ΑΔ πρὸς τὴν ΒΔ δοθείς. καί ἐστιν δύο

---


7. *ἐστιν τὸ*] *ἴσον τῷ* Hultsch. 16. *δύο δοθέντα τὰ Α, Β*] *δύο* cod., *δοθέντα τὰ Α Β* Hultsch cum Simsono.

δοθέντα τὰ Α, Β· δοθὲν ἄρα ἐστὶν τὸ Δ· ὥστε καὶ τὸ Γ δοθέν.

Συντεθήσεται δὴ τὸ πρόβλημα οὕτως. ἔστω τὸ μὲν τμῆμα τὸ ΑΒΓ, ὁ δὲ λόγος ὁ τῆς Ε πρὸς τὴν Ζ, καὶ πεποιήσθω, ὡς τὸ ἀπὸ Ε πρὸς τὸ ἀπὸ Ζ, οὕτως ἡ ΑΔ πρὸς τὴν ΔΒ, καὶ ἤχθω ἐφαπτομένη ἡ ΔΓ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ, ΓΒ. λέγω, ὅτι αἱ ΑΓ, ΓΒ ποιοῦσι τὸ πρόβλημα.

ἐπεὶ γάρ ἐστιν, ὡς τὸ ἀπὸ Ε πρὸς τὸ ἀπὸ Ζ, οὕτως ἡ ΑΔ πρὸς τὴν ΔΒ, ὡς δὲ ἡ ΑΔ πρὸς τὴν ΔΒ, οὕτως τὸ ἀπὸ ΑΓ πρὸς τὸ ἀπὸ ΓΒ διὰ τὸ ἐφάπτεσθαι τὴν ΓΔ, καὶ ὡς ἄρα τὸ ἀπὸ Ε πρὸς τὸ ἀπὸ Ζ, οὕτως τὸ ἀπὸ ΑΓ πρὸς τὸ ἀπὸ ΓΒ· ὥστε καί, ὡς ἡ Ε πρὸς τὴν Ζ, οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΒ. ἡ ΑΓΒ ἄρα ποιεῖ τὸ πρόβλημα.

λ'. Κύκλος, οὗ διάμετρος ἡ ΑΒ, καὶ ἀπὸ τυχόντος ἐπ' αὐτὴν κάθετος ἡ ΔΕ, διήχθω ἡ ΔΖ, ἐπεζεύχθω ἡ




ΕΖ καὶ ἐκβεβλήσθω, καί, καθ' ὃ συμπίπτει τῇ διαμέτρῳ, ἔστω τὸ Η· ὅτι ἐστίν, ὡς ἡ ΑΗ πρὸς τὴν ΗΒ, οὕτως ἡ ΑΘ πρὸς τὴν ΘΒ.

ἐπεζεύχθωσαν αἱ ΔΑ, ΑΕ, ΑΖ.

12. οὕτως τὸ] m. 2 cod.; οὕτωσε ante rasuram, ut uidetur, m. 1 cod.; οὕτως ἐστὶν τὸ coni. Hultsch.

ἐπεὶ οὖν ἐπὶ διάμετρον κάθετος ἡ ΔE, ἴση ἐστὶν ἡ ὑπὸ ΔAB τῇ ὑπὸ BAE. ἀλλ' ἡ ὑπὸ ΔAB τῇ ἐν τῷ αὐτῷ τμήματι ἴση ἐστὶν τῇ ὑπὸ ΘZB, ἡ δὲ ὑπὸ BAE ἴση ἐστὶν τῇ ἐκτὸς τετραπλεύρου τῇ ὑπὸ BZH· καὶ ἡ ὑπὸ ΘZB ἄρα γωνία ἴση ἐστὶν τῇ ὑπὸ BZH. καί ἐστιν ὀρθὴ ἡ ὑπὸ AZB γωνία· διὰ δὴ τὸ λῆμμα γίνεται, ὡς ἡ AH πρὸς τὴν HB, οὕτως ἡ $A\Theta$ πρὸς τὴν $B\Theta$.

λα'. Ἡμικύκλιον τὸ ἐπὶ τῆς AB, καὶ ἀπὸ τῶν A, B σημείων τῇ AB πρὸς ὀρθὰς γωνίας εὐθεῖαι γραμμαὶ ἤχθωσαν αἱ $B\Delta$, AE, καὶ ἤχθω τυχοῦσα ἡ ΔE, καὶ ἀπὸ τοῦ Z τῇ ΔE πρὸς ὀρθὰς γωνίας εὐθεῖα γραμμὴ ἡ ZH συμπιπτέτω τῇ AB κατὰ τὸ H· ὅτι τὸ ὑπὸ τῶν AE, $B\Delta$ ἴσον ἐστὶν τῷ ὑπὸ τῶν AHB.




ὅτι ἄρα ἐστίν, ὡς ἡ EA πρὸς τὴν AH, οὕτως ἡ HB πρὸς τὴν $B\Delta$. περὶ ἴσας γωνίας ἀνάλογόν εἰσιν αἱ πλευραί· ὅτι ἄρα ἴση ἐστὶν ἡ ὑπὸ τῶν AHE γωνία τῇ ὑπὸ τῶν $B\Delta H$ γωνίᾳ. ἀλλὰ ἡ μὲν ὑπὸ AHE ἴση ἐστὶν ἐν τῷ αὐτῷ τμήματι τῇ ὑπὸ AZE, ἡ δὲ ὑπὸ $B\Delta H$ πάλιν ἐν τῷ αὐτῷ τμήματι τῇ ὑπὸ BZH· ὅτι ἄρα ἴση ἐστὶν ἡ ὑπὸ AZE γωνία τῇ ὑπὸ BZH γωνίᾳ. ἔστιν δέ· ὀρθὴ γάρ ἐστιν ἑκατέρα τῶν ὑπὸ AZB, EZH γωνιῶν.

1. *διάμετρον*] *διαμέτρου* cod., Hultsch. 4. *ἡ*] *τῇ* cod., Hultsch. 5. *γωνία* cod., Hultsch. *τῇ*] *τῷ* cod., *ἡ* Hultsch cum aliis. 6. *τὸ*] *τι* susp. Hultsch. significatur lemma VI, 99, quod sane aliter a Pappo significatum fuisse probabile est. 7. *BΘ*] *ΘB* Hultsch.

λβ΄. Τρίγωνον τὸ ΑΒΓ ἴσην ἔχον τὴν ΑΒ τῇ ΑΓ, καὶ ἐκβεβλήσθω ἡ ΑΒ ἐπὶ τὸ Δ, καὶ ἀπὸ τοῦ Δ διήχθω ἡ ΔΕ ποιοῦσα ἴσον τὸ ΒΔΕ τρίγωνον τῷ ΑΒΓ τριγώνῳ· ὅτι, ἐὰν δίχα τμηθῇ μία τῶν ἴσων πλευρῶν ἡ πρὸς τῷ ἴσῳ τριγώνῳ τῇ ΒΖ, γίνεται, ὡς συναμφότερος ἡ ΖΒΗ πρὸς τὴν ΖΗ, οὕτως τὸ ἀπὸ ΑΖ τετράγωνον πρὸς τὸ ἀπὸ ΖΘ τετράγωνον.

ἤχθω διὰ τοῦ Β τῇ ΔΕ παράλληλος ἡ ΒΚ, καὶ ἐκβεβλήσθω ἡ ΑΓ ἐπὶ τὸ Κ· ὅτι ἄρα ἐστίν, ὡς συναμφότερος ἡ ΖΚ, ΚΘ πρὸς τὴν ΖΘ, τουτέστιν τὸ ὑπὸ συναμ-




φοτέρου τῆς ΖΚ, ΚΘ καὶ τῆς ΖΘ πρὸς τὸ ἀπὸ ΖΘ, οὕτως τὸ ἀπὸ ΑΖ τετράγωνον πρὸς τὸ ἀπὸ ΖΘ τετράγωνον. τὸ δὴ ὑπὸ συναμφοτέρου τῆς ΖΚΘ καὶ τῆς ΖΘ, τουτέστιν ἡ τῶν ἀπὸ ΖΚ, ΚΘ ὑπεροχή, ἴση ἐστὶν τῷ ἀπὸ ΑΖ· ἡ ἄρα τῶν ἀπὸ ΚΖ, ΖΑ ὑπεροχή ἐστιν τὸ ἀπὸ ΚΘ. ἀλλὰ ἡ τῶν ἀπὸ ΚΖ, ΖΑ ὑπεροχή ἐστιν το ὑπὸ ΓΚΑ· ὅτι ἄρα τὸ ὑπὸ ΓΚΑ ἴσον ἐστὶν τῷ ἀπὸ ΘΚ· ὅτι ἄρα ἐστίν, ὡς ἡ ΓΚ πρὸς τὴν ΚΘ, τουτέστιν ὡς ἡ ΓΒ πρὸς τὴν ΒΕ, οὕτως ἡ ΚΘ πρὸς τὴν ΚΑ, τουτέστιν ἡ ΔΒ πρὸς τὴν ΒΑ. ἔστιν δέ· παράλληλος γάρ ἐστιν ἡ ΑΕ τῇ ΔΓ, ἐπειδὴ τὸ ΔΒΕ τρίγωνον ἴσον ἐστὶν

5. ΖΒΗ] m. 2 cod., ΒΖΗ m. 1; ΖΒ ΒΗ Hultsch cum aliis. 13. δὴ] ΔΕ cod., ἄρα Hultsch cum Commandino. ΖΚΘ] ΖΚ ΚΘ Hultsch cum Commandino.


τῷ ΑΒΓ τριγώνῳ, κοινοῦ δ' ἀφαιρουμένου τοῦ ΑΒΕ λοιπὸν τὸ ΔΑΕ λοιπῷ τῷ ΑΓΕ ἐστιν ἴσον καί ἐστιν ἐπὶ τῆς αὐτῆς βάσεως.

λγ'. Κύκλος περὶ διάμετρον τὴν ΑΒ, καὶ ἐκβεβλήσθω ἡ ΑΒ καὶ ἔστω ἐπὶ τυχοῦσαν τὴν ΔΕ κάθετος, καὶ τῷ ὑπὸ ΑΖΒ ἴσον κείσθω τὸ ἀπὸ ΖΗ τετράγωνον· ὅτι, οἷον ἐὰν ληφθῇ σημεῖον ὡς τὸ Ε, καὶ ἀπ' αὐτοῦ ἐπὶ τὸ Η ἐπιζευχθεῖσα ἐκβληθῇ ἐπὶ τὸ Θ, γίνεται καὶ τὸ ὑπὸ ΘΕΚ ἴσον τῷ ἀπὸ ΕΗ τετραγώνῳ.



ἐπεζεύχθωσαν αἱ ΑΕ, ΒΔ· ὀρθὴ ἄρα ἐστὶν ἡ Λ γωνία. ἔστιν δὲ καὶ ἡ Ζ ὀρθή· τὸ ἄρα ὑπὸ ΑΕΔ ἴσον ἐστὶν τῷ τε ὑπὸ ΑΖΒ καὶ τῷ ἀπὸ ΖΕ τετραγώνῳ. ἀλλὰ τὸ μὲν ὑπὸ ΑΕΔ ἴσον ἐστὶν τῷ ὑπὸ ΘΕΚ, τὸ δὲ ὑπὸ ΑΖΒ ἴσον ἐστὶν τῷ ἀπὸ ΖΗ τετραγώνῳ· τὸ ἄρα ὑπὸ ΘΕΚ ἴσον ἐστὶν τοῖς ἀπὸ τῶν ΕΖ, ΖΗ τετραγώνοις, τουτέστιν τῷ ἀπὸ ΕΗ τετραγώνῳ.

λδ'. Ἔστω, ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΑΔ πρὸς τὴν ΔΓ, καὶ τετμήσθω ἡ ΑΓ δίχα κατὰ τὸ Ε σημεῖον· ὅτι γίνεται τρία, τὸ μὲν ὑπὸ ΒΕΔ ἴσον τῷ ἀπὸ ΕΓ



τετραγώνῳ, τὸ δὲ ὑπὸ ΒΔΕ τῷ ὑπὸ ΑΔΓ, τὸ δὲ ὑπὸ ΑΒΓ τῷ ὑπὸ ΕΒΔ.

ἐπεὶ γάρ, ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΑΔ πρὸς τὴν ΔΓ, συνθέντι καὶ τὰ ἡμίσεα τῶν ἡγουμένων καὶ ἀναστρέψαντι ἄρα ἐστίν, ὡς ἡ ΒΕ πρὸς τὴν ΕΓ, ἡ ΕΓ


30. ἡ ΕΓ] οὕτως ἡ ΕΓ Gerhardt, Hultsch.

πρὸς τὴν $EΔ$· τὸ ἄρα ὑπὸ $BEΔ$ ἴσον ἐστὶν τῷ ἀπὸ $EΓ$. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ $ΔE$ τετράγωνον· λοιπὸν ἄρα τὸ ὑπὸ $BΔE$ ἴσον ἐστὶν τῷ ὑπὸ $ΑΔΓ$. πάλιν τὸ ὑπὸ $BEΔ$ ἴσον ἐστὶν τῷ ἀπὸ $EΓ$ τετραγώνῳ. ἀμφότερα ἀφῃρήσθω ἀπὸ τοῦ ἀπὸ τῆς BE τετραγώνου· λοιπὸν ἄρα τὸ ὑπὸ τῶν $ABΓ$ ἴσον ἐστὶν τῷ ὑπὸ τῶν $EBΔ$.

Ἀλλὰ ἔστω νῦν τὸ ὑπὸ τῶν $BΔE$ ἴσον τῷ ὑπὸ τῶν $ΑΔΓ$, καὶ τετμήσθω δίχα ἡ $ΓA$ κατὰ τὸ E· ὅτι ἐστίν, ὡς ἡ AB πρὸς τὴν $BΓ$, οὕτως ἡ $AΔ$ πρὸς τὴν $ΔΓ$.

ἐπεὶ γὰρ τὸ ὑπὸ τῶν $BΔE$ ἴσον ἐστὶν τῷ ὑπὸ τῶν $ΑΔΓ$, κοινὸν προσκείσθω τὸ ἀπὸ $ΔE$ τετράγωνον· ὅλον ἄρα τὸ ὑπὸ $BEΔ$ ἴσον τῷ ἀπὸ $ΓE$ τετραγώνῳ. ἀνάλογον καὶ ἀναστρέψαντι καὶ δὶς τὰ ἡγούμενα καὶ διελόντι ἄρα ἐστίν, ὡς ἡ AB πρὸς τὴν $BΓ$, οὕτως ἡ $AΔ$ πρὸς τὴν $ΔΓ$.

λε΄. Τούτων ὄντων ἔστω κύκλος ὁ περὶ διάμετρον τὴν AB, καὶ ἐκβεβλήσθω ἡ AB, ἔστω δὲ ἐπὶ τυχοῦσαν τὴν $ΔE$ κάθετος, καὶ πεποιήσθω, ὡς ἡ AZ πρὸς τὴν ZB, οὕτως ἡ AH πρὸς τὴν HB· ὅτι πάλιν, οἷον ἐὰν ἐπὶ τῆς $EΔ$ σημεῖον ληφθῇ ὡς τὸ E, καὶ ἐπιζευχθεῖσα ἡ EH ἐκβληθῇ ἐπὶ τὸ $Θ$, γίνεται, ὡς ἡ $ΘE$ πρὸς τὴν EK, οὕτως ἡ $ΘH$ πρὸς τὴν HK.




εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ $Λ$, καὶ ἀπὸ τοῦ $Λ$ ἐπὶ τὴν $EΘ$ κάθετος ἤχθω ἡ $ΛM$· ἴση ἄρα ἐστὶν ἡ KM τῇ $MΘ$. ἐπεὶ δὲ ὀρθή ἐστιν ἑκατέρα τῶν M, Z γωνιῶν, ἐν κύκλῳ ἐστὶν τὰ E, Z, $Λ$, M σημεῖα· τὸ ἄρα ὑπὸ $ZHΛ$ ἴσον ἐστὶν τῷ ὑπὸ τῶν EHM. ἀλλὰ τὸ ὑπὸ τῶν $ZHΛ$ ἴσον ἐστὶν τῷ ὑπὸ τῶν AHB διὰ τὸ εἶναι,

20. πάλιν] ut in lemmate XXXIII.

ὡς τὴν AZ πρὸς τὴν ZB, οὕτως τὴν AH πρὸς τὴν HB, καὶ τετμῆσθαι τὴν AB δίχα κατὰ τὸ $Δ$· καὶ τὸ ὑπὸ τῶν EHM ἄρα ἴσον ἐστὶν τῷ ὑπὸ τῶν AHB, τουτέστιν· ἐν κύκλῳ γάρ· τῷ ὑπὸ τῶν $ΘHK$. καὶ τέτμηται δίχα ἡ $ΘK$ κατὰ τὸ M· διὰ δὴ τὸ προγεγραμμένον γίνεται, ὡς ἡ $ΘE$ πρὸς τὴν EK, οὕτως ἡ $ΘH$ πρὸς τὴν HK.

λϛ'. Ἡμικύκλιον τὸ ἐπὶ τῆς AB, καὶ παράλληλος τῇ AB ἡ $ΓΔ$, καὶ κάθετοι ἤχθωσαν αἱ $ΓE$, $ΔH$· ὅτι ἴση ἐστὶν ἡ AE τῇ HB.

εἰλήφθω τὸ κέντρον τοῦ κύκλου τὸ Z, καὶ ἐπεζεύχθωσαν αἱ $ΓZ$, $ZΔ$· ἴση ἄρα ἐστὶν ἡ $ΓZ$ τῇ $ZΔ$· ὥστε καὶ τὸ ἀπὸ τῆς $ΓZ$ ἴσον τῷ ἀπὸ τῆς $ZΔ$ τετραγώνῳ. ἀλλὰ τῷ μὲν ἀπὸ $ΓZ$ τετραγώνῳ ἴσα ἐστὶν τὰ ἀπὸ τῶν $ΓE$, EZ τετράγωνα, τῷ δὲ ἀπὸ $ΔZ$ τετραγώνῳ ἴσα ἐστὶν τὰ ἀπὸ τῶν $ΔH$, HZ τετράγωνα· καὶ τὰ ἀπὸ τῶν $ΓE$, EZ ἄρα τετράγωνα ἴσα ἐστὶν τοῖς ἀπὸ τῶν ZH, $HΔ$ τετραγώνοις. ὧν τὸ ἀπὸ $ΓE$ τετράγωνον ἴσον ἐστὶν τῷ ἀπὸ τῆς $ΔH$ τετραγώνῳ· λοιπὸν ἄρα τὸ ἀπὸ τῆς EZ τετράγωνον λοιπῷ τῷ ἀπὸ ZH τετραγώνῳ ἐστὶν ἴσον· ἴση ἄρα ἐστὶν ἡ EZ τῇ ZH. ἔστιν δὲ καὶ ὅλη ἡ AZ ὅλῃ τῇ ZB ἴση· λοιπὴ ἄρα ἡ AE λοιπῇ τῇ HB ἐστὶν ἴση· ὅπερ ἔδει δεῖξαι.




λζ'. Ἡμικύκλιον τὸ ἐπὶ τῆς AB, καὶ ἀπὸ τυχόντος τοῦ $Γ$ διήχθω ἡ $ΓΔ$, καὶ κάθετος ἤχθω ἡ $ΔE$· ὅτι τὸ ἀπὸ $AΓ$ τοῦ ἀπὸ $ΓΔ$ ὑπερέχει τῷ ὑπὸ συναμφοτέρου τῆς $AΓ$, $ΓB$ καὶ τῆς AE.

ὅτι ἄρα τὸ ἀπὸ $AΓ$ ἴσον ἐστὶν τῷ τε ἀπὸ $ΔΓ$, τουτέστιν τοῖς ἀπὸ $ΔE$, $EΓ$, καὶ τῷ ὑπὸ συναμφοτέρου τῆς

2. τετμῆσθαι τὴν] susp. Hultsch, τέτμηται ἡ cod. 5. προγεγραμμένον] lemma XXXIV extr. 25. ὅπερ ἔδει δεῖξαι] o cod., ὅπερ: ~ Hultsch.


ΑΓΒ καὶ τῆς ΑΕ. ὅτι ἄρα κοινοῦ ἀφαιρεθέντος τοῦ ὑπὸ ΓΑΕ λοιπὸν τὸ ὑπὸ ΑΓΕ ἴσον ἐστὶν τῷ τε ἀπὸ ΔΕ, τουτέστιν τῷ ὑπὸ ΑΕΒ, καὶ τῷ ἀπὸ ΓΕ καὶ τῷ



ὑπὸ ΑΕ, ΓΒ. κοινοῦ ἀφαιρεθέντος τοῦ ἀπὸ ΓΕ, ὅτι λοιπὸν τὸ ὑπὸ ΑΕΓ ἴσον ἐστὶν τῷ τε ὑπὸ ΑΕΒ καὶ τῷ ὑπὸ ΑΕ, ΒΓ. ἔστιν δέ.

Εἰς τὸ πόρισμα τοῦ α΄ βιβλίου.

λη΄. Θέσει ὄντος παραλληλογράμμου τοῦ ΑΔ ἀπὸ δοθέντος τοῦ Ε διαγαγεῖν τὴν ΕΖ καὶ ποιεῖν ἴσον τὸ ΖΓΗ τρίγωνον τῷ ΑΔ παραλληλογράμμῳ.



γεγονέτω. ἐπεὶ οὖν ἴσον ἐστὶν τὸ ΖΓΗ τρίγωνον τῷ ΑΔ παραλληλογράμμῳ, τὸ δὲ ΑΔ παραλληλόγραμμον διπλάσιόν ἐστιν τοῦ ΑΓΔ τριγώνου, καὶ τὸ ΖΓΗ ἄρα τρίγωνον διπλάσιόν ἐστιν τοῦ ΑΓΔ τριγώνου. ὡς δὲ τὸ τρίγωνον πρὸς τὸ τρίγωνον, διὰ τὸ περὶ τὴν αὐτὴν γωνίαν τὴν Γ οὕτως ἐστὶν τὸ ὑπὸ ΖΓΗ πρὸς τὸ ὑπὸ ΑΓΔ. δοθὲν δὲ τὸ ὑπὸ ΑΓΔ· δοθὲν ἄρα καὶ τὸ ὑπὸ ΖΓΗ. καὶ δο-

---

1. *ΑΓΒ*] *ΑΓ ΓΒ* Hultsch cum Commandino. 19. *περὶ*] *εἶναι περὶ* Hultsch. 22. *δοθέντος*] *ἀπὸ δοθέντος* Hultsch cum Commandino.

θέντος τοῦ E εἰς θέσει τὰς ΑΓ, ΓΔ διῆκται εἰς χωρίου ἀποτομήν· θέσει ἄρα ἐστὶν ἡ EZ.


συντεθήσεται δὲ οὕτως· ἔστω τὸ μὲν τῇ θέσει παραλληλόγραμμον τὸ ΑΔ, τὸ δὲ δοθὲν τὸ E. διήχθω ἀπὸ τοῦ E εἰς θέσει τὰς ZΓH εὐθεῖα ἡ EZ ἀποτέμνουσα χωρίον τὸ ZΓH ἴσον δοθέντι χωρίῳ τῷ διπλασίονι τοῦ ΑΓΔ. καὶ κατὰ τὰ αὐτὰ τῇ ἀναλύσει δείξομεν ἴσον τὸ ZΓH τρίγωνον τῷ ΑΔ παραλληλογράμμῳ· ἡ EZ ἄρα ποιεῖ τὸ πρόβλημα. φανερὸν οὖν, ὅτι μόνη, ἐπεὶ κἀκείνη μόνη.

Τόποι πρὸς ἐπιφανείᾳ.

7. Pappus *Συναγ.* VII 3 p. 636, 23 (inter opera ad *τόπον ἀναλυόμενον* pertinentia loco undecimo, cfr. fr. 5): *Εὐκλείδου Τόπων πρὸς*[1] *ἐπιφανείᾳ δύο.* cfr. Studien über Euklid p. 79sqq., Zeuthen Die Lehre von den Kegelschnitten im Altertum p. 423sqq.

8. Pappus *Συναγ.* VII 312 p. 1004, 16sqq.:

Εἰς τοὺς πρὸς ἐπιφανείᾳ.




α'. Ἐὰν ᾖ εὐθεῖα ἡ AB καὶ παρὰ θέσει ἡ ΓΔ, καὶ ᾖ λόγος τοῦ ὑπὸ ΑΔB πρὸς τὸ ἀπὸ ΔΓ, τὸ Γ ἅπτεται κωνικῆς γραμμῆς. ἐὰν οὖν ἡ μὲν AB στερηθῇ τῆς θέσεως, καὶ τὰ A, B στερηθῇ τοῦ δοθέντα εἶναι, γένηται δὲ πρὸς θέσει εὐθείαις ταῖς AE,

1) *πρὸς*] *τῶν πρὸς* Hultsch.


1. *εἰς* (alt.)] *ἡ EZ εἰς* Hultsch cum Commandino. 5. *ZΓH*] *ZΓ ΓΔ* Hultsch cum Commandino. 6. *τὸ*] *τὸ ὑπὸ* cod., Hultsch. 7. *τοῦ*] *τοῦ ὑπὸ* cod., Hultsch. 19. *α'*] hoc lemma explicauit Tannery Bulletin des sciences mathém. 2e série VI p. 149, figuram dedit Zeuthen Kegelsch. p. 424. 25. *δοθέντα*] *δοθέντος* cod., Hultsch. *εὐθείαις*] Tannery, *εὐθεῖα* cod., Hultsch.

EB, τὸ *Γ* μετεωρισθὲν γίνεται πρὸς θέσει ἐπιφανείᾳ. τοῦτο δὲ ἐδείχθη.

β'. Ἐὰν ᾖ θέσει εὐθεῖα ἡ *AB* καὶ δοθὲν τὸ *Γ* ἐν τῷ αὐτῷ ἐπιπέδῳ, καὶ διαχθῇ ἡ *ΔΓ*, καὶ παρὰ θέσει ἀχθῇ ἡ *ΔE*, λόγος δὲ ᾗ τῆς *ΓΔ* πρὸς *ΔE*, τὸ *Δ* ἅπτεται θέσει κωνικῆς τομῆς· δείκνυται δέ, ὅτι γραμμῆς. δειχθήσεται δὲ οὕτως προγραφέντος τόπου τοῦδε·



Δύο δοθέντων τῶν *A*, *B* καὶ ὀρθῆς τῆς *ΓΔ* λόγος ἔστω τοῦ ἀπὸ *AΔ* πρὸς τὰ ἀπὸ *ΓΔ*, *ΔB*. λέγω, ὅτι τὸ *Γ* ἅπτεται κώνου τομῆς, ἐάν τε ᾖ ὁ λόγος ἴσος πρὸς ἴσον ἢ μείζων πρὸς ἐλάσσονα ἢ ἐλάσσων πρὸς μείζονα.



ἔστω γὰρ πρότερον ὁ λόγος ἴσος πρὸς ἴσον. καὶ ἐπεὶ ἴσον ἐστὶν τὸ ἀπὸ *AΔ* τοῖς ἀπὸ *ΓΔ*, *ΔB*, κείσθω τῇ *BΔ* ἴση ἡ *ΔE*· ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ *BAE* τῷ ἀπὸ *ΔΓ*. τετμήσθω δίχα ἡ *AB* τῷ *Z*· δοθὲν ἄρα τὸ *Z*. καὶ ἔσται διπλῆ ἡ *AE* τῆς *ZΔ*· ὥστε τὸ ὑπὸ *BAE* τὸ δίς ἐστιν ὑπὸ τῶν *AB*, *ZΔ*. καί ἐστιν ἡ διπλῆ τῆς *AB* δοθεῖσα· τὸ ἄρα ὑπὸ δοθείσης καὶ τῆς *ZΔ* ἴσον ἐστὶν τῷ ἀπὸ τῆς *ΔΓ*. τὸ *Γ* ἄρα ἅπτεται θέσει παραβολῆς ἐρχομένης διὰ τοῦ *Z*.


συντεθήσεται δὴ ὁ τόπος οὕτως·

ἔστω τὰ δοθέντα *A*, *B*, ὁ δὲ λόγος ἔστω ἴσος πρὸς

---

1. *ἐπιφανείᾳ*] Hultsch in indice, *ἐπιφανείας* cod. 5. *παρὰ θέσει*] *πρὸς ὀρθὰς* Hultsch. 7. *δείκνυται*] *δεικτέον* susp. Hultsch. *γραμμῆς*] *γραμμῆς μέρος ποιεῖ τὸν τόπον* Gerhardt, Hultsch. 8. *τόπου*] „immo *τοῦ λήμματος*" Hultsch. 10. *γ'* praeposuit Hultsch cum aliis. 21. *ἔσται*] *ἔστιν* Hultsch cum Commandino. 27. *δ'* add. Hultsch, alii.

ἴσον, καὶ τετμήσθω ἡ AB δίχα τῷ Z, τῆς δὲ AB διπλῆ ἔστω ἡ P, καὶ θέσει οὔσης εὐθείας τῆς ZB πεπερασμένης κατὰ τὸ Z, τῆς δὲ P δεδομένης τῷ μεγέθει, γεγράφθω περὶ ἄξονα τὸν ZB παραβολὴ ἡ HZ, ὥστε, οἷον ἐὰν ἐπ' αὐτῆς σημεῖον ληφθῇ ὡς τὸ $Γ$, κάθετος δὲ ἀχθῇ ἡ $ΓΔ$, ἴσον εἶναι τὸ ὑπὸ P, $ZΔ$ τῷ ἀπὸ $ΔΓ$, καὶ ἤχθω ὀρθὴ ἡ BH. λέγω, ὅτι τὸ $ΓH$ μέρος τῆς παραβολῆς ἐστιν.



ἤχθω γὰρ κάθετος ἡ $ΓΔ$, καὶ τῇ $BΔ$ ἴση κείσθω ἡ $ΔE$. ἐπεὶ οὖν διπλῆ ἐστιν ἡ μὲν AB τῆς BZ, ἡ δὲ EB τῆς $BΔ$, διπλῆ ἄρα καὶ ἡ AE τῆς $ZΔ$· τὸ ἄρα ὑπὸ BAE ἴσον ἐστὶν τῷ δὶς ὑπὸ τῶν AB, $ZΔ$, τουτέστιν τῷ ἀπὸ $ΔΓ$. κοινὸν προσκείσθω τὸ ἀπὸ $EΔ$ ἴσον ὂν τῷ ἀπὸ $ΔB$· ὅλον ἄρα τὸ ἀπὸ $AΔ$ ἴσον ἐστὶν τοῖς ἀπὸ τῶν $ΓΔ$, $ΔB$. ἡ $ΖΓH$ ἄρα γραμμὴ ποιεῖ τὸν τόπον.


Ἔστω δὴ πάλιν τὰ δύο δοθέντα σημεῖα τὰ A, B καὶ εὐθεῖά τε ἡ $ΔΓ$ καὶ ὀρθή, λόγος δὲ ἔστω τοῦ ἀπὸ $AΔ$

---


17. ε΄ praemisit Hultsch cum aliis. 18. εὐθεῖά τε ἡ $ΔΓ$ καὶ ὀρθῇ ἐφάπτεται ἡ $ΔΓ$ καὶ ὀρθή cod., κατήχθω ὀρθὴ ἡ $ΔΓ$ Hultsch cum Commandino.

πρὸς τὰ ἀπὸ $B\Delta$, $\Delta\Gamma$ ἐπὶ μὲν τῆς πρώτης πτώσεως ἐλάσσων πρὸς μείζονα, ἐπὶ δὲ τῆς δευτέρας μείζων πρὸς ἐλάσσονα. λέγω, ὅτι τὸ Γ ἅπτεται κώνου τομῆς, ἐπὶ μὲν τῆς πρώτης πτώσεως ἐλλείψεως, ἐπὶ δὲ τῆς δευτέρας ὑπερβολῆς.

ἐπεὶ γὰρ λόγος ἐστὶν τοῦ ἀπὸ $A\Delta$ πρὸς τὰ ἀπὸ $B\Delta$, $\Delta\Gamma$, ὁ αὐτὸς αὐτῷ γεγονέτω ὁ τοῦ ἀπὸ $B\Delta$ πρὸς τὸ ἀπὸ



ΔE· ἐπὶ μὲν οὖν τῆς πρώτης πτώσεως ἐλάσσων ἐστὶν ἡ $B\Delta$ τῆς ΔE, ἐπὶ δὲ τῆς δευτέρας μείζων ἐστὶν ἡ $B\Delta$ τῆς ΔE. κείσθω οὖν τῇ $E\Delta$ ἴση ἡ ΔZ. ἐπεὶ λόγος




ἐστὶν τοῦ ἀπὸ $A\Delta$ πρὸς τὰ ἀπὸ $\Gamma\Delta$, ΔB, καί ἐστιν αὐτῷ ὁ αὐτὸς ὁ τοῦ ἀπὸ $E\Delta$ πρὸς τὸ ἀπὸ ΔB, καὶ λοιπὸς

2. ἐλάσσων πρὸς μείζονα] μείζων πρὸς ἐλάσσονα Hultsch cum Commandino. μείζων πρὸς ἐλάσσονα] ἐλάσσων πρὸς μείζονα Hultsch cum Commandino. 7. $B\Delta$] $E\Delta$ Hultsch cum Commandino. 8. ΔE] ΔB Hultsch cum Commandino. 10. οὖν] ὅτι cod., om. Hultsch cum Commandino. 12. Permutanda erant $E\Delta$ et ΔB; sed hic error, quoniam cum ulla probabilitate corrigi non potest, Pappo ipsi tribuendus est. totam demonstrationem pessumdat.

ἄρα τοῦ ὑπὸ ZAE πρὸς τὸ ἀπὸ $\Delta\Gamma$ λόγος ἐστὶν δοθείς. ἐπεὶ δὲ λόγος ἐστὶν τῆς $E\Delta$ πρὸς ΔB καὶ τῆς $Z\Delta$ πρὸς ΔB καὶ τῆς ZB πρὸς $B\Delta$, ὁ αὐτὸς αὐτῷ γεγονέτω ὁ τῆς AB πρὸς BH· καὶ ὅλης ἄρα τῆς AZ πρὸς ΔH λόγος ἐστὶν δοθείς. πάλιν, ἐπεὶ λόγος ἐστὶν τῆς $E\Delta$ πρὸς ΔB δοθείς, καὶ τῆς EB ἄρα πρὸς $B\Delta$ λόγος ἐστὶν δοθείς. ὁ αὐτὸς αὐτῷ γεγονέτω ὁ τῆς AB πρὸς $B\Theta$· λόγος ἄρα καὶ τῆς AB πρὸς $B\Theta$ ἐστιν δοθείς· δοθὲν ἄρα τὸ Θ. καὶ λοιπὸς τῆς AE πρὸς $\Theta\Delta$ λόγος ἐστὶν δοθείς· καὶ τοῦ ὑπὸ ZAE ἄρα πρὸς τὸ ὑπὸ $\Theta\Delta H$ λόγος ἐστὶ δοθείς. τοῦ δὲ ὑπὸ ZAE πρὸς τὸ ἀπὸ $\Gamma\Delta$ λόγος ἐστὶν δοθείς· καὶ τοῦ ὑπὸ $H\Delta\Theta$ ἄρα πρὸς τὸ ἀπὸ $\Delta\Gamma$ λόγος ἐστὶν δοθείς. καί ἐστιν δύο δοθέντα τὰ Θ, H· ἐπὶ μὲν ἄρα τῆς πρώτης πτώσεως τὸ Γ ἅπτεται ἐλλείψεως, ἐπὶ δὲ τῆς δευτέρας ὑπερβολῆς.

συντεθήσεται δὲ ὁ τόπος οὕτως·

ἔστω τὰ μὲν δύο δοθέντα σημεῖα τὰ A, B, ὁ δὲ δοθεὶς λόγος ὁ τῆς PT πρὸς $T\Sigma$, ἐπὶ μὲν τῆς πρώτης πτώ-




σεως ἐλάσσων πρὸς μείζονα, ἐπὶ δὲ τῆς δευτέρας μείζων

---

2. καὶ τῆς $Z\Delta$ πρὸς ΔB] om. Hultsch cum Commandino. 6. καὶ τῆς — 7. δοθείς] cod., nisi quod δοθέντα habet (sicut etiam post ΔB lin. 6); om. Hultsch cum Commandino. 7. AB] $A\Theta$ Hultsch cum Commandino. 9. δοθὲν ἄρα τὸ Θ] uncis inclusit Hultsch. λοιπὸς] λοιπὸς ἄρα Hultsch. 15. Post ὑπερβολῆς add. μείζων πρὸς ἐλάσσονα ἐλάσσων πρὸς μείζονα cod. 16. ς′ praemisit Hultsch cum aliis. 18. τῆς PT πρὸς $T\Sigma$] τοῦ ἀπὸ PT πρὸς τὸ ἀπὸ $T\Sigma$ Hultsch cum Commandino. 19. μείζων πρὸς ἐλάσσονα et ἐλάσσων πρὸς μείζονα Hultsch cum Commandino.

πρὸς ἐλάσσονα, καὶ τῇ PT ἴση κείσθω ἡ $T\Upsilon$, καὶ πεποιήσθω, ὡς ἡ $\Upsilon\Sigma$ πρὸς τὴν ΣT, οὕτως ἡ AB πρὸς τὴν BH, πεποιήσθω δὲ καί, ὡς ἡ PT πρὸς τὴν $T\Sigma$, οὕτως ἡ $A\Theta$ πρὸς τὴν ΘB, καὶ γεγράφθω περὶ ἄξονα τὸν ΘH ἐπὶ μὲν τῆς πρώτης πτώσεως ἔλλειψις, ἐπὶ



δὲ τῆς δευτέρας ὑπερβολή, ὥστε, οἷον ἐὰν ἐπ' αὐτῆς ληφθῇ σημεῖον ὡς τὸ Γ, καὶ κάθετος ἀχθῇ ἡ $\Gamma\Delta$, λόγον εἶναι τοῦ ὑπὸ τῶν $\Theta\Delta H$ πρὸς τὸ ἀπὸ $\Delta\Gamma$ τὸν συνημμένον ἔκ τε τοῦ, ὃν ἔχει ἡ $T\Sigma$ πρὸς $\Sigma\Upsilon$, καὶ ἐξ οὗ ὃν ἔχει ἡ $T\Sigma$ πρὸς ΣP, καὶ ἐξ οὗ ὃν ἔχει ὁ δοθεὶς λόγος, ὅς ἐστιν ὁ τοῦ ἀπὸ PT πρὸς τὸ ἀπὸ $T\Sigma$, καὶ ἤχθω ὀρθὴ ἡ BK. λέγω, ὅτι ἡ ΘK ποιεῖ τὸ ἐπίταγμα.

ἤχθω γὰρ κάθετος ἡ $\Gamma\Delta$, καὶ πεποιήσθω, ὡς μὲν ἡ AB πρὸς τὴν BH, οὕτως ἡ ZB πρὸς τὴν $B\Delta$, ὡς δὲ ἡ $A\Theta$ πρὸς τὴν ΘB, οὕτως ἡ $E\Delta$ πρὸς τὴν ΔB· ὥστε ἔσται ὁ μὲν τῆς ΔH πρὸς τὴν AZ λόγος ὁ αὐτὸς τῷ τῆς HB πρὸς τὴν $B\Delta$, τουτέστιν τῷ τῆς $T\Sigma$ πρὸς $\Sigma\Upsilon$, ὁ δὲ τῆς $\Theta\Delta$ πρὸς AE λόγος ὁ αὐτός ἐστιν τῷ τῆς $T\Sigma$ πρὸς ΣP· τὸ αὐτὸ γὰρ ἐν τῇ ἀναλύσει ἀπεδείχθη· ὥστε τοῦ ὑπὸ $\Theta\Delta H$ πρὸς τὸ ὑπὸ ZAE λόγος συνῆπται ἐξ οὗ

11. καὶ ἤχθω] κατήχθω cod., Hultsch. 18. ἐστιν] del. Hultsch. 19. τὸ αὐτό] τοῦτο susp. Hultsch.

ὃν ἔχει ἡ ΤΣ πρὸς ΣΥ καὶ ἡ ΤΣ πρὸς ΣΡ. ἀλλ' ἐπεὶ τὸ ὑπὸ ΘΔΗ πρὸς τὸ ἀπὸ ΔΓ τὸν συνημμένον ἔχει λόγον ἐξ οὗ ὃν ἔχει ἡ ΤΣ πρὸς ΣΥ καὶ ἡ ΤΣ πρὸς ΣΡ, καὶ ἔτι ὁ δοθεὶς λόγος ὁ τοῦ ἀπὸ ΡΤ πρὸς τὸ ἀπὸ ΤΣ, καὶ τὸ ὑπὸ ΘΔΗ πρὸς τὸ ἀπὸ ΔΓ συνῆπται ἐξ οὗ ὃν ἔχει τὸ ὑπὸ ΘΔΗ πρὸς τὸ ὑπὸ ΖΔΕ καὶ τὸ ὑπὸ ΖΔΕ πρὸς τὸ ἀπὸ ΔΓ, καί ἐστιν ὁ τοῦ ὑπὸ τῶν ΘΔΗ πρὸς τὸ ὑπὸ ΖΔΕ λόγος ὁ αὐτὸς τῷ συνημμένῳ ἐξ οὗ ὃν ἔχει ἡ ΤΣ πρὸς ΣΥ καὶ ἡ ΤΣ πρὸς ΣΡ, λοιπὸς ἄρα τοῦ ὑπὸ ΖΔΕ πρὸς τὸ ἀπὸ ΔΓ λόγος ὁ αὐτός ἐστιν τῷ τοῦ ἀπὸ ΡΤ πρὸς τὸ ἀπὸ ΤΣ, τουτέστι τῷ τοῦ ἀπὸ ΕΔ πρὸς τὸ ἀπὸ ΔΒ. καὶ πάντα πρὸς πάντα· ὡς ἄρα τὸ ἀπὸ ΑΔ πρὸς τὰ ἀπὸ ΓΔ, ΔΒ, οὕτως ἐστὶν τὸ ἀπὸ ΡΤ πρὸς τὸ ἀπὸ ΤΣ, τουτέστιν ὁ δοθεὶς λόγος· ὥστε τὸ ΘΚ μέρος τῆς τομῆς ποιεῖ τὸν τόπον.

Τούτων οὕτως ἐχόντων ἐλευσόμεθα ἐπὶ τὸ ἐξ ἀρχῆς. ἔστω θέσει εὐθεῖα ἡ ΑΒ καὶ δοθὲν τὸ Γ ἐν τῷ αὐτῷ ἐπιπέδῳ, καὶ διήχθω ἡ ΔΓ καὶ κάθετος ἡ ΔΕ, λόγος δὲ ἔστω τῆς ΓΔ πρὸς ΔΕ. λέγω, ὅτι τὸ Δ ἅπτεται κώνου τομῆς, καὶ ἐὰν μὲν ὁ λόγος ᾖ ἴσος πρὸς ἴσον, παραβολῆς, ἐὰν δὲ ἐλάσσων πρὸς μείζονα, ἐλλείψεως, ἐὰν δὲ μείζων πρὸς ἐλάσσονα, ὑπερβολῆς.


ἔστω πρότερον ὁ λόγος ἴσος πρὸς ἴσον, τουτέστιν ἔστω πρότερον ἴση ἡ ΓΔ τῇ ΔΕ. δεῖξαι, ὅτι τὸ Δ ἅπτεται παραβολῆς.

ἤχθω κάθετος ἡ ΓΖ· θέσει ἄρα ἐστί· τῇ δὲ ΑΒ παράλληλος ἡ ΔΗ. καὶ ἐπεὶ τὸ ἀπὸ ΕΔ ἴσον τῷ ἀπὸ

---

4. καὶ ἔτι] καὶ ἔστιν cod., καὶ ἐξ οὗ ὃν ἔχει ὁ δοθεὶς λόγος καὶ ἔστιν Hultsch cum Commandino. Post ΤΣ add. ἐλάσσων πρὸς μείζονα cod. 10. ΖΔΕ] ΘΔΗ cod. 13. ΓΔ, ΔΒ] ΒΗ cod. 17. ζ' praemisit Hultsch cum aliis. 19. καὶ (alt.)] om. cod., Hultsch. 24. ἔστω] ἔστω τῶν cod., ἔστω γὰρ Hultsch.

ΔΓ, ἴση δὲ ἡ μὲν ΕΔ τῇ ΖΗ, το δὲ ἀπὸ ΔΓ ἴσον τοῖς ἀπὸ ΔΗ, ΗΓ, τὸ ἄρα ἀπὸ ΖΗ ἴσον ἐστὶ τοῖς ἀπὸ ΔΗ, ΗΓ. καὶ ἔστιν θέσει ἡ ΖΓ, καὶ δύο δοθέντα τὰ Ζ, Γ· τὸ Δ ἄρα ἅπτεται παραβολῆς· τοῦτο γὰρ προδέδεικται.



συντεθήσεται δὴ οὕτως·

ἔστω ἡ τῇ θέσει ἡ ΑΒ, τὸ δὲ δοθὲν τὸ Γ, καὶ ἤχθω κάθετος ἡ ΓΖ, καὶ θέσει οὔσης τῆς ΓΖ καὶ δύο δοθέντων τῶν Ζ, Γ εὑρήσθω παραβολὴ ἡ ΔΘ, ὥστε, οἷον ἐὰν ληφθῇ σημεῖον ὡς τὸ Δ, ἀχθῇ δὲ κάθετος ἡ ΔΗ, ἴσον ἐστὶν τὸ ἀπὸ ΖΗ τοῖς ἀπὸ ΔΗ, ΗΓ. λέγω, ὅτι ἡ ΔΘ γραμμὴ τὸν τόπον ποιεῖ, τουτέστιν ὅτι, οἷα τις ἐὰν διαχθῇ ὡς ἡ ΓΔ καὶ κάθετος ἡ ΔΕ, ἴση ἐστὶν ἡ ΓΔ τῇ ΔΕ.

ἤχθω κάθετος ἡ ΔΗ· διὰ ἄρα τῆς παραβολῆς ἴσον ἐστὶν τὸ ἀπὸ ΖΗ τοῖς ἀπὸ ΔΗ, ΗΓ. καί ἐστιν τῇ μὲν ΖΗ ἴση ἡ ΕΔ, τοῖς δὲ ἀπὸ ΔΗ, ΗΓ ἴσον τὸ ἀπὸ ΔΓ· τὸ ἄρα ἀπὸ ΔΓ ἴσον ἐστὶν τῷ ἀπὸ ΔΕ. ἴση ἄρα ἐστὶν ἡ ΓΔ τῇ ΔΕ· ἡ ἄρα ΔΘ γραμμὴ ποιεῖ τὸν τόπον.

---

6. *η′* praemisit Hultsch cum aliis. 11. *ἐστὶν*] fort. *εἶναι*. 12. *τὸν τόπον ποιεῖ*] *τὸν τόπον* cod., *ποιεῖ τὸν τόπον* Hultsch cum aliis. *ὅτι*] om. cod., Hultsch. 13. *ἐὰν*] *ἂν* Hultsch. 19. Desiderantur praeter finem huius lemmatis sine dubio alia lemmata libri Euclidis.

Κωνικά.

9. Pappus *Συναγ.* VII 30 p. 672, 18sqq.:

Τὰ Εὐκλείδου βιβλία δ̄ Κωνικῶν Ἀπολλώνιος ἀναπλώσας καὶ προσθεὶς ἕτερα δ̄ παρέδωκεν η̄ Κωνικῶν τεύχη.

Scholiasta Pappi III p. 1187 ad hunc locum: *ὅτι καὶ ὁ Εὐκλείδης κωνικῶν δ̄ βιβλία γέγραφεν.*

Cfr. Studien über Euklid p. 83sqq.

10. Apollonius Pergaeus Conic. I p. 4, 10sqq.:

Τὸ δὲ τρίτον πολλὰ καὶ παράδοξα θεωρήματα χρήσιμα πρός τε τὰς συνθέσεις τῶν στερεῶν τόπων καὶ τοὺς διορισμούς, ὧν τὰ πλεῖστα καὶ κάλλιστα ξένα, ἃ καὶ κατανοήσαντες συνείδομεν μὴ συντιθέμενον ὑπὸ Εὐκλείδου τὸν ἐπὶ τρεῖς καὶ τέσσαρας γραμμὰς τόπον, ἀλλὰ μόριον τὸ τυχὸν αὐτοῦ καὶ τοῦτο οὐκ εὐτυχῶς· οὐ γὰρ ἦν δυνατὸν ἄνευ τῶν προσευρημένων ἡμῖν τελειωθῆναι τὴν σύνθεσιν.

Cfr. Pappus VII 32 p. 676, 3sqq.

Pappus VII 33 p. 676, 19sqq.: *Ἀπολλώνιος μὲν ταῦτα· ὃν δέ φησιν ἐν τῷ τρίτῳ τόπον ἐπὶ γ̄ καὶ δ̄ γραμμὰς μὴ τελειωθῆναι ὑπὸ Εὐκλείδου, οὐδ' ἂν αὐτὸς ἠδυνήθη οὐδ' ἄλλος οὐδεὶς ἀλλ' οὐδὲ μικρόν τι προσθεῖναι τοῖς ὑπὸ Εὐκλείδου γραφεῖσιν διά γε μόνων τῶν προδεδειγμένων ἤδη κωνικῶν ἄχρι τῶν κατ' Εὐκλείδην, ὡς καὶ αὐτὸς μαρτυρεῖ λέγων ἀδύνατον εἶναι τελειωθῆναι, χωρὶς ὧν αὐτὸς προγράφειν ἠναγκάσθη. ὁ δὲ Εὐκλείδης ἀποδεχόμενος τὸν Ἀρισταῖον ἄξιον ὄντα, ἐφ' οἷς ἤδη παραδεδώκει κωνικοῖς, καὶ μὴ φθάσας ἢ μὴ θελήσας ἐπικαταβάλλεσθαι τούτων τὴν αὐτὴν πραγματείαν . .,*

---


3. *ἀναπλώσας*] cod., *ἀναπληρώσας* Hultsch cum aliis. 22. *ἀλλ'* — 23. *γραφεῖσιν*] del. Hultsch. 26. *ὁ δὲ* sqq. del. Hultsch.

ὅσον δυνατὸν ἦν τοῦ τόπου διὰ τῶν ἐκείνου κωνικῶν, ἔγραψεν οὐκ εἰπὼν τέλος ἔχειν τὸ δεικνύμενον.

De loco ad tres uel quattuor lineas u. Zeuthen Die Lehre von den Kegelschn. p. 126sq.

11. Archimedes Quadrat. parabol. prop. 1—3 (II p. 266sqq.; cfr. ib. II p. 350, 8; 436, 3):

Εἴ κα ᾖ ὀρθογωνίου κώνου τομά, ἐφ' ἃς ἀ ΑΒΓ, ἀ δὲ ΒΔ παρὰ τὰν διάμετρον ἢ αὐτὰ διάμετρος, ἀ δὲ ΑΓ παρὰ τὰν κατὰ τὸ Β ἐπιψαύουσαν τᾶς τοῦ κώνου τομᾶς, ἴσα ἐσσεῖται ἀ ΑΔ τᾷ ΔΓ. κἂν ἴσα ᾖ ἀ ΑΔ τᾷ ΔΓ, παραλλήλοι ἐσσοῦνται ἃ τε ΑΓ καὶ ἀ κατὰ τὸ Β ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς.



Εἴ κα ᾖ ὀρθογωνίου κώνου τομὰ ἀ ΑΒΓ, ᾖ δὲ ἀ μὲν ΒΔ παρὰ τὰν διάμετρον ἢ αὐτὰ διάμετρος, ἀ δὲ ΑΔΓ παρὰ τὰν κατὰ τὸ Β ἐπιψαύουσαν τᾶς τοῦ κώνου τομᾶς, ἀ δὲ ΕΓ τᾶς τοῦ κώνου τομᾶς ἐπιψαύουσα κατὰ τὸ Γ, ἐσσοῦνται αἱ ΒΔ, ΒΕ ἴσαι.

Εἴ κα ᾖ ὀρθογωνίου κώνου τομὰ ἀ ΑΒΓ, ἀ δὲ ΒΔ παρὰ τὰν διάμετρον ἢ αὐτὰ διάμετρος, καὶ ἀχθέωντί τινες αἱ ΑΔ, ΕΖ παρὰ τὰν κατὰ τὸ Β ἐπιψαύουσαν τᾶς τοῦ κώνου τομᾶς, ἐσσεῖται, ὡς ἀ ΒΔ ποτὶ τὰν ΒΖ, δυνάμει ἀ ΑΔ ποτὶ τὰν ΕΖ.


ἀποδέδεικται δὲ ταῦτα ἐν τοῖς κωνικοῖς στοιχείοις.

12. Archimedes *Περὶ κωνοειδ. καὶ σφαιροειδ.* prop. 3 (I p. 270, 15sqq.):

Εἰ κα κώνου τομᾶς ὁποιασοῦν εὐθεῖαι ἐπιψαύωντι ἀπὸ τοῦ αὐτοῦ σαμείου ἀγμέναι, ἔωντι δὲ καὶ ἄλλαι εὐθεῖαι ἐν τᾷ τοῦ κώνου τομᾷ παρὰ τὰς ἐπιψαυούσας ἀγμέναι καὶ τέμνουσαι ἀλλάλας, τὰ περιεχόμενα ὑπὸ τῶν τμαμάτων τὸν αὐτὸν ἐξοῦντι λόγον ποτ' ἄλλαλα, ὃν τὰ τετράγωνα τὰ ἀπὸ τᾶν ἐπιψαυουσᾶν· ὁμόλογον δὲ ἐσσεῖται τὸ περιεχόμενον ὑπὸ τῶν τᾶς ἑτέρας γραμμᾶς τμαμάτων τῷ τετραγώνῳ τῷ ἀπὸ τᾶς ἐπιψαυούσας τᾶς παραλλήλου αὐτᾷ.

ἀποδέδεικται δὲ τοῦτο ἐν τοῖς κωνικοῖς στοιχείοις.

13. Archimedes *Περὶ κωνοειδ.* prop. 3 (I p. 272, 23 sqq.):



Ὃν δὴ λόγον ἔχει τὸ τετράγωνον τὸ ἀπὸ τᾶς AZ ποτὶ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς AK, τοῦτον ἐχέτω ἁ N ποτὶ τὰν M. αἱ δὴ ἀπὸ τᾶς τομᾶς ἐπὶ τὰν ΔZ ἀγόμεναι παρὰ τὰν AE δύνανται τὰ παρὰ τὰν ἴσαν τᾷ N παραπίπτοντα πλάτος ἔχοντα, ἃς αὐταὶ ἀπολαμβάνοντι ἀπὸ τᾶς ΔZ ποτὶ τὸ Δ πέρας.

δέδεικται γὰρ ἐν τοῖς κωνικοῖς.

EPIGRAMMA

Εὐκλείδου γεωμετρικόν.

Ἡμίονος καὶ ὄνος φορέουσαι οἶνον ἔβαινον,
αὐτὰρ ὄνος στενάχιζεν ἐπ' ἄχθει φόρτου ἑοῖο.
τὴν δὲ βαρυστενάχουσαν ἰδοῦσ' ἐρέεινεν ἐκείνη·
μῆτερ, τί κλαίουσ' ὀλοφύρεαι ἠύτε κούρη;
εἰ μέτρον ἓν μοι δοίης, διπλάσιον σέθεν ἦρα,
εἰ δὲ ἓν ἀντιλάβοις, πάντως ἰσότητα φυλάξεις.
εἰπὲ τὸ μέτρον, ἄριστε γεωμετρίης ἐπίστορ.

Primus edidit Aldus in Florilegio 1503 (MM p. 9), deinde praeter reliquas Anthologiae editiones, uelut Henrici Stephani 1566 p. 493, Bachetus in Diophanto p. 370 sine Euclidis nomine (p. 349: „placet hoc loco elegantissima aliquot epigrammata proferre non iniucundas quaestiones de rebus arithmeticis continentia, quae nondum edita fuerunt, quaeque pridem e codice probatissimo Palatino excerpta tradidit nobis vir eruditissimus Claudius Salmasius", et deinde p. 368: „his, quae nondum edita erant, epigrammatis subiicere libet quinque sequentia cum nostra interpretatione, ne quid ad hanc materiam pertinens hic deesse sinamus, quamuis olim haec edita circumferantur in Anthologia") et Brunckius Anal. I p. 168. ego hosce contuli codices: Vatic. Gr. 63 bomb. s. XIV (A, fol. 121), Vatic. Gr. 1347 chart. s. XVI (B, fol. 216), Vatic. Gr. 1379 chart. s. XV (C, fol. 33), Mutin. III B 11 chart. s. XV (D), Barberin. I 128 chart. s. XV (E, fol. 124), Musei Britann. add. 22858 chart. s. XVI (F, fol. 105ᵛ), Bodl. Baroccian. 125 chart. s. XVI, u. Coxe I p. 203 (G, fol. 146). exstat etiam in Vindob. philos. 331.

---

1. *γεωμετρικόν*] *γεωμετρικοῦ* F, *ἐπίγραμμα γεωμετρικόν* G. 2. *οἶνον*] *ἶνον* F. 3. *στενάχισεν* F, sed corr. 4. *βαριστε-*

Philippus Melanchthon.

Mulae asinaeque duos imponit seruulus utres
impletos uino. segnemque ut uidit asellam
pondere defessam uestigia figere tarda,
mula rogat: quid, chare parens, cunctare gemisque?
unam ex utre tuo mensuram si mihi reddas,
duplum oneris tunc ipsa feram; sed si tibi tradam
unam mensuram, fient aequalia utrique
pondera. mensuras dic, docte geometer, istas!


5. 7.

Interpretationem Melanchthonis sumpsi ex F, fol. 105ª.

νάχουσαν Bachet. *ἐρέεινεν*] *ἐρέειν* C, *ἐρεένειν* F, *ἐρέεκεν* G. *ἐκείνη*] *ἐνεκείνη* C. 5. *μῆτερ*] *μερ̄* CD, *ὦ μερ̄* E. 6. *ἔν μοι*] *ἔμοι* Bachet. 7. *δὲ ἓν*] *δέ κεν* FG. 8. *γεωμετρίως* F. *ἐπίστωρ* E, *·/.* add. G et in mg. *ἠϥ ἐπιστήμων*. — In mg. ad lin. 3: *ἡ ἡμίονος ζ̄ καὶ ἡ ὄνος ε̄* DE, *ἡ ἡμίονος ζ̄ ἡ ὄνος ε̄* A. In fine: *ἀνὰ τριῶν μέτρων δοκοῦσι φέρειν* ACDE Aldus Stephanus, *ἡ μὲν ζ̄ ἡ δὲ ε̄ μέτρα δοκοῦσι φέρειν* C.

SCHOLIA

Scholia codicis Vat. Gr. 1038 fol. 129^{v} sub fine Datorum in mg. inferiore.



Ὅρων δοθέντων ὁποσαοῦν εὑρεῖν δυαδικὰς συζυγίας. εὑρίσκομεν δὲ αὐτὰς οὕτως· λαμβάνομεν τῶν δοθέντων ὅρων ī ἀριθμὸν μονάδι ἐλάττονα καὶ πολυπλασιάζομεν αὐτὸν εἰς τὸν ἐγγὺς αὐτοῦ μονάδι μείζονα καὶ ἐκ τοῦ γενομένου ποσοῦ λαμβάνομεν τὸ ἥμισυ· καὶ ἔχομεν αὐτὴν εὕρεσιν τῶν δοθέντων ὅρων δυαδικὰς συζυγίας. τὰς δὲ τριαδικὰς οὕτως· λαμβάνομεν τὸν δυάδι ἐλάσσονα ἀριθμὸν τοῦ ποσοῦ τῶν ἐξ ἀρχῆς δοθέντων ὅρων καὶ πολλαπλασιάζομεν ἐπὶ τὸ ποσὸν τὸ γεγονὸς ἐκ τῶν δυαδικῶν συζυγιῶν ἐκ τοῦ ποσοῦ τῶν δοθέντων ἐξ ἀρχῆς ὅρων καὶ τοῦ γεγονότος πολλαπλασιασμοῦ λαμβάνομεν τὸ τρίτον μέρος· καὶ ἔχομεν τριαδικὰς συζυγίας. καὶ ἑξῆς ὁμοίως.

Μέθοδος εἰς τοὺς τριγωνικοὺς ἀριθμούς.

1) Quadratum vacuum.

3. *ἀριθμόν*] om. lacuna relicta. 7. *τὰς δέ*] om. lac. relicta.

δοθείσης πλευρᾶς εὑρεῖν τὸ πλῆθος τῶν μονάδων τοῦ ἐμβαδοῦ. ἔστω ἡ πλευρὰ μοιρῶν $\bar{\xi}$· ταύτης τὸ ἥμισυ γίνεται $\bar{\gamma}$ ἥμισυ. πρόσθες καθόλου τὸ ἥμισυ· γίνεται $\bar{\delta}$. τετράκις τὸ $\bar{\xi}$ γίνεται $\overline{\kappa\eta}$. πάλιν ἔστω ἡ πλευρὰ μοιρῶν $\bar{\eta}$· ὧν τὸ ἥμισυ $\bar{\delta}$. πρόσθες ἥμισυ· γίνεται $\overline{\delta\bar{\iota}}$. ἐπὶ τὸ $\bar{\eta}$ γένεται $\overline{\lambda\bar{\varsigma}}$. ὁμοίως ἐπὶ πάντων.

μέθοδος ἄλλη χρησιμωτέρα.

πᾶς ἀριθμὸς διαιρεθεὶς εἰς δύο ἀριθμούς, ὥστε μονάδι ἀλλήλων διαφέρειν τὰ τμήματα, ἐὰν πολλαπλασιασθῇ ἐφ' ὁποιονοῦν, ὁ ὅλος τριγωνικὸς ἔσται· πλευρὰ δὲ ἔσται τοῦ μὲν μείζονος τριγώνου ὁ ἐξ ἀρχῆς ἀριθμός, τοῦ δὲ ἐλάττονος ὁ μονάδι ἐλάσσων αὐτοῦ· οἷον ὁ $\bar{\theta}$ διαιρεῖται εἰς $\bar{\delta}$ καὶ $\bar{\varepsilon}$· γίνεται οὖν $\overline{\lambda\bar{\varsigma}}$, $\overline{\iota\bar{\varepsilon}}$· πλευρὰ δὲ τοῦ μὲν ὁ $\bar{\eta}$, τοῦ δὲ ὁ $\bar{\theta}$. πάλιν ὁ $\overline{\iota\beta}$ εἰς $\bar{\varepsilon}$ ἥμισυ καὶ $\bar{\varsigma}$ ἥμισυ· γίνεται $\overline{\xi\bar{\varsigma}}$, $\overline{o\bar{\eta}}$· πλευρὰ δὲ τοῦ μὲν ὁ $\overline{\iota\bar{\alpha}}$, τοῦ δὲ ὁ $\overline{\iota\beta}$.

Scholium codicis Vaticani Gr. 204 fol. 134^{v} ad Euclidis Catoptrica prop. I.

Δῆλον τοῦτό ἐστι μάλιστα ἀπὸ τῶν ἡλιακῶν ἀκτίνων. ἐὰν γὰρ ἐν σταθερᾷ μεσημβρίᾳ τοῦ ἡλίου φλογῶδες ἐλλάμποντος ὕδωρ τις ἐν πινακίσκῳ βαλὼν ἔγγιον αὐτὸ θῇ τοίχου τινός, κατ' ἐκεῖνο δηλονότι τὸ μέρος, ἐν ᾧ ὁ ἥλιος τὰς ἀκτῖνας ἀφίησιν, αὐτίκα γενήσονται παλμοί τινες ἐπὶ τὸν τοῖχον ἀπὸ τοῦ ὕδατος, ὡς ὁρᾶσθαι τὰς ἀκτῖνας παλλομένας τοῦ ἡλίου ἐπὶ τὸν τοῖχον καὶ οἷον ὑποτρεμούσας, ὅπερ ἐστὶν ἡ λεγομένη ἀντανάκλασις. καὶ εἴγε ἦν αἰσθητικώτερον ἰδεῖν τὴν ἀκτῖνα, καθάπερ ξύλον ἢ λίθον ἢ ἄλλο τι σῶμα τοιοῦτον, εἶδες ἂν τὴν ἀπὸ ταύτης ἐπὶ τὴν ἀνακλωμένην εὐθεῖαν ἐπίζευγνυμένην γραμμὴν πρὸς ἴσας γωνίας οὖσαν ἑκατέραις καὶ διάνδιχα ταύτας μερίζουσαν. ἐπεὶ τοίνυν, ὅπερ ἐστὶν

26. ὑποτρεμούσας] -μ- obscurum, fortasse χ.

ἥλιος ἐν κόσμῳ, τοῦτο ἐν σώματι ὀφθαλμός, τὸ αὐτὸ καὶ ἐπὶ τούτου γενήσεται, ὅπερ καὶ ἐπὶ τοῦ ἡλίου, ὅταν θεωρῇ διά τινος σώματος καθαρωτάτου καὶ διαφανοῦς, οἷον τὸ τῆς ὑέλλου. ὑποστήσεται γάρ τινα παλμὸν ἡ ἀπὸ τοῦ ὀφθαλμοῦ ἐπὶ τὴν ὕελλον ἀποχεομένη ἀκτὶς καὶ γωνίαν τὴν αὐτὴν ποιήσει πρὸς τῷ ἐνόπτρῳ, οἵαν ἡ ἀπὸ τοῦ ὄμματος πρὸς αὐτό. δῆλον, ὅτι, εἰ μὲν πρὸς ὀρθὰς γωνίας ἐστὶν αὐτὴ ἡ ἀπὸ τοῦ ὄμματος, αὐτὴ δι' ἑαυτῆς ἀνακλασθήσεται, εἰ δὲ πρὸς ἀμβλείας, ἔσται ἀναλόγως καὶ ἡ ἀντανακλωμένη αὐτὴ ἰσογώνιος αὐτῇ, τουτέστιν ἴσην ἔχουσα τὴν πρὸς τῇ κατὰ τὸ ἔνοπτρον συναφῇ γωνίαν τῇ ἀπὸ τῆς τοῦ ὄμματος ἀκτῖνος πρὸς τῷ αὐτῷ σημείῳ, καὶ τοῦτό ἐστιν, ὅπερ φησὶν Εὐκλείδης, ὅτι ἀπὸ τῶν ἐπιπέδων ἐνόπτρων καὶ κυρτῶν καὶ κοίλων αἱ ὄψεις ἐν ἴσαις γωνίαις ἀνακλῶνται.

---

11. ἴσην] bis. 12. τῆς] supra.

PLEASE DO NOT REMOVE
CARDS OR SLIPS FROM THIS POCKET

UNIVERSITY OF TORONTO LIBRARY

QA
31
E83
1883
v.8
c.1
PASC

Additional microform copy
available in
Periodicals Reading
Rm.

30/11/87
A.